19. Ὅταν οὖν τούτους τελείως μισήσωμεν, καὶ περὶ πάντων τῷ Κυρίῳ πιστεύσωμεν, πάντα λογισμὸν διὰ καρδιακῆς καὶ μονολογίστου ἐλπίδος Αὐτῷ προσεγγίζοντες, τότε, καθὼς ἐν ἀρχῇ τῆς διὰ τοῦ Βαπτίσματος πίστεως ἐγένετο τὸ σῶμα τοῦ Χριστοῦ βρῶμα τοῦ πιστοῦ, οὕτως ἐν τῇ νοερᾷ ἐλπίδι καὶ ἀρνήσει τῶν λογισμῶν γίνεται ὁ βεβαιόπιστος καὶ καθαρὸς νοῦς, βρῶμα τοῦ Ἰησοῦ τοῦ εἰπόντος· Ἐμὸν βρῶμα ἐστίν, ἵνα ποιῶ τὸ θέλημα τοῦ Πατρός μου.

20. Τί δέ ἐστι τὸ θέλημα τοῦ Πατρός; Τὸ πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, κατὰ τὸν λόγον τοῦ Παύλου, ἀληθείας δέ, τῆς κατ' ἐλπίδα νοερὰν εὑρισκομένης, ἐξ ἐνεργείας τοῦ Ἁγίου Πνεύματος, ἥτις ἐστὶν ἐλπιζομένων ὑπόστασις.

21. Ἧς τινος ἀληθείας εἰς ἐπίγνωσιν ἀβάπτιστος ἢ κακόπιστος ἐλθεῖν οὐ δύναται· αὕτη γὰρ πρῶτον τοῖς πιστοῖς διὰ τοῦ Βαπτίσματος δίδοται μυστικῶς, καὶ ἐνοικεῖ κρυπτῶς· εἶθ' οὕτω κατὰ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν καὶ τῆς νοερᾶς ἐλπίδος ἀποκαλύπτεται τοῖς οὕτω πιστεύουσι τῷ Κυρίῳ εἰρηκότι· Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· τοῦτο δέ, φησιν, ἔλεγε, περὶ τοῦ πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς Αὐτόν.

22. Καὶ τοῦτο δὴ χρὴ γινώσκειν, ὅτι τὴν παράβασιν τοῦ Ἀδὰμ οὐ διεδεξάμεθα, ἐπειδὴ καὶ αὐτὸς ὁ Ἀδὰμ οὐ κατ' ἀνάγκην ἔσχεν αὐτήν, ἀλλὰ κατὰ θέλημα· τὸν δὲ ἐκ τῆς παραβάσεως θάνατον, ὅς ἐστι Θεοῦ ἀλλοτρίωσις, ἐξ ἀνάγκης διεδεξάμεθα, ἐπειδὴ κἀκεῖνον ἐξ ἀνάγκης ἐκράτησεν· ἀποθανόντος γὰρ τοῦ πρώτου ἀνθρώπου, τουτέστιν ἀλλοτριωθέντος ἀπὸ Θεοῦ, οὔτε ἡμεῖς ζῆν ἐν Θεῷ ἠδυνάμεθα, ἀλλ' ἐβασίλευεν ὁ θάνατος καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως τοῦ Ἀδάμ· διὸ ἦλθεν ὁ Κύριος, ἵνα ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας ζωοποιήσῃ καὶ καταλλάξῃ τῷ Θεῷ, ὃ καὶ πεποίηκε.

23. Τρία οὖν συμβέβηκε τῷ Ἀδὰμ πράγματα, ἅτινά ἐστι, προσβολὴ κατ' οἰκονομίαν, παράβασις κατ' ἰδίαν ἀπιστίαν, ὁ θάνατος κατὰ δικαίαν κρίσιν Θεοῦ ἐπακολουθήσας οὐ τῇ οἰκονομικῇ προσβολῇ, ἀλλὰ τῇ ἐξ ἀπιστίας παραβάσει. Ἡμεῖς οὖν, ὡς ἔφην, μόνον τὸν θάνατον διεδεξάμεθα, διὰ τὸ μὴ δύνασθαι ἐκ νεκρῶν ζῶντας γενέσθαι, ἕως οὗ ἦλθεν ὁ Κύριος, καὶ πάντας τοὺς πιστεύοντας ἐζωοποίησε.

24. Τὴν πρωτόνοιαν κατ' οἰκονομίαν ἔχομεν ὥσπερ κἀκεῖνος, καὶ πείθου-

σιν ἡμᾶς τοῦτο οἱ μὴ ἁμαρτήσαντες ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως τοῦ 'Αδάμ· ἀλλὰ τὴν μὲν προσβολήν, ὡς ἐκεῖνος κατ' ἀνάγκην σχόντες, τὴν δὲ πρὸς αὐτὴν ὁμιλίαν καὶ προσπάθειαν καθόλου παραιτησάμενοι.

25. 'Η τοῦ σατανᾶ οὖν προσβολή ἐστι μονολόγιστος ἐμφάνεια πράγματος πονηροῦ, ἥτις καὶ αὐτὸ τὸ προσεγγίσαι τῷ νῷ ἡμῶν δι' ὀλιγοπιστίας εὑρίσκει· ἐντολὴν γὰρ ἡμῶν λαβόντων μηδὲν μεριμνᾶν, ἀλλὰ πάσῃ φυλακῇ τηρεῖν τὴν ἑαυτῶν καρδίαν, καὶ ζητεῖν ἐντὸς ἡμῶν οὖσαν τὴν Βασιλείαν τῶν οὐρανῶν, ὅταν ἀποστῇ ὁ νοῦς τῆς καρδίας καὶ τῆς προειρημένης ζητήσεως, εὐθὺς δίδωσι τόπον τῇ τοῦ διαβόλου προσβολῇ, καὶ γίνεται δεκτικὸς τῆς πονηρᾶς ὑποθέσεως.

26. 'Αλλ' οὐδὲ τότε ὁ διάβολος κινεῖν ἡμῶν τοὺς λογισμοὺς κατ' ἐξουσίαν ἔχει, ἐπεὶ οὐκ ἂν ἡμῶν ἐφείσατο πᾶσαν κακὴν ἔννοιαν ἀναγκαστικῶς ἐπιφέρων, καὶ μηδὲν ἀγαθὸν ἐννοεῖν συγχωρῶν, ἐξουσίαν δὲ μόνον ἔχει μονολογίστως ἐν πρωτονοίᾳ ὑποδεικνύειν τὰ πονηρὰ πράγματα τοῦ πειράζειν ἡμῶν τὸ ἐνδιάθετον, ποῦ ῥέπει· πρὸς τὴν ἐκείνου ὑποβολήν, ἢ πρὸς τὴν ἐντολὴν τοῦ Κυρίου, ἐπειδὴ ταῦτα ἀλλήλοις ἀντίκεινται.

27. Ὅθεν ἡμεῖς ἐφ' οἷς μὲν ἀγαπῶμεν εὐθέως πρὸς τὸ ὑπόδειγμα ἀνακινοῦμεν τοὺς λογισμούς, καὶ ἐμπαθῶς προσομιλοῦμεν κατὰ διάνοιαν τῷ ὑποδειχθέντι πράγματι· ἐφ' οἷς δὲ μισοῦμεν, συγχρονίζειν οὐ δυνάμεθα, ἀλλὰ καὶ αὐτὴν μισοῦμεν τὴν προσβολήν· εἰ δὲ καὶ μισουμένη παραμένει, γίνεται γάρ, πλὴν οὐκ ἐκ διαθέσεως προσφάτου, ἀλλ' ἐκ παλαιᾶς προλήψεως ὠχύρωται.

28. Διὸ καὶ ἀπρόκοπος ἵσταται ἐν τῷ τόπῳ καὶ μονολόγιστος ὑπὸ τῆς καρδιακῆς ἀηδίας εἰς πολύνοιαν καὶ πάθος προβῆναι κωλυομένη· οὐ γὰρ ἔχει φύσιν ἡ μονοπρόσωπος ἐμφάνεια, μισουμένη παρὰ τοῦ προσέχοντος ἑαυτῷ, βίᾳ κατασύρειν τὸν νοῦν εἰς τὸ τῆς πολυνοίας πάθος, εἰμὴ διὰ ἡδυπαθείας καρδιακῆς μόνης.

29. Ὥστε εἰ ἡμεῖς τῆς ἡδυπαθείας παντελῶς ἀποστῶμεν, οὐδὲ ἡ τῶν προλήψεων μονολόγιστος ἐμφάνεια βλάψαι ἡμᾶς ἔτι δύναται, εἰ καὶ τὴν συνείδησιν πρὸς ἀσφάλειαν τῶν μελλόντων κατακρίνει.

30. 'Επιγνόντος γὰρ τοῦ νοὸς τὴν ἀργὴν τῆς προλήψεως ἔνστασιν, καὶ ἐξομολογουμένου τῷ Θεῷ τὴν παλαιὰν ἁμαρτίαν, εὐθὺς ἀναιρεῖται καὶ οὗτος ὁ πειρασμός, καὶ πάλιν ὁ νοῦς ἐξουσίαν ἔχει προσέχειν τῇ καρδίᾳ, καὶ πάσῃ φυλακῇ διὰ προσευχῆς τηρεῖν αὐτήν, εἰς τὰ ἐνδότερα αὐτῆς καὶ ἀνενόχλητα ταμεῖα εἰσελθεῖν πειρώμενος.

31. Ἔνθα οὐκ εἰσὶ πονηρῶν λογισμῶν ἄνεμοι βιαίως ὠθοῦντες καὶ ψυχὴν καὶ σῶμα ἐπὶ τοὺς κρημνοὺς τῆς ἡδυπαθείας, οὔτε πλατεῖα τις καὶ εὐρύχωρος ὁδὸς ῥήμασί τε καὶ σχήμασι κοσμικῆς σοφίας κατεστρωμένη, καὶ δελεάζουσα τοὺς ἑπομένους αὐτῇ, κἂν λίαν τυγχάνωσι φρόνιμοι· τὰ γὰρ καθαρὰ τῆς ψυχῆς ἐνδότερα ταμιεῖα καὶ ὁ οἶκος τοῦ Χριστοῦ, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστὸς διὰ τοῦ Βαπτίσματος, γυμνὸν νοῦν εἰσδέχονται μηδὲν ἐπιφερόμενον τοῦ αἰῶνος τούτου· μὴ εὔλογον, μὴ ἄλογον, εἰμὴ τὰ τρία μόνα, ἃ εἶπεν ὁ 'Απόστολος, πίστιν, ἐλπίδα, ἀγάπην.

32. Δύναται οὖν τις φιλαλήθης ὢν καὶ καρδιοπονεῖν βουλόμενος, μηδὲ ὑπὸ τῶν προλήψεων ἐξωθεῖσθαι, ἀλλὰ προσέχειν τῇ καρδίᾳ καὶ προκόπτειν εἰς τὸ ἐνδότερον καὶ ἐγγίζειν τῷ Θεῷ, μόνον ἵνα ἐπὶ τοῖς τῆς προσοχῆς καὶ παραμονῆς πόνοις μὴ ἀηδίζηται· ὁ γὰρ προσεκτικὸς οὐ δύναται μὴ καρδιοπονεῖν, τῶν λογιστικῶν μετεωρισμῶν καὶ σαρκικῶν ἡδονῶν καθ' ἡμέραν ἑαυτὸν οὐκ ἔξωθεν μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ περιγράφων, ἐν οἷς πολλάκις καὶ ἐννοίᾳ καὶ πράξει ἀνεστράφη.

'Ερώτησις

33. Διατί οὖν ἐγὼ ὁ βεβαπτισμένος καὶ τὸν Θεὸν παρακαλῶ, καὶ τὴν Χάριν Αὐτοῦ ἐπικαλοῦμαι, καὶ ὅλῳ θελήματι βούλομαι ῥυσθῆναι καὶ ἀπαλλαγῆναι τῶν πονηρῶν λογισμῶν, καὶ οὐ δύναμαι; ὁ γὰρ Κύριος ἐν τοῖς Εὐαγγελίοις κατε-

πηγγείλατο ποιῆσαι τὴν ἐκδίκησιν τῶν βοώντων πρὸς Αὐτὸν νυκτὸς καὶ ἡμέρας.

Ἀπόκρισις

34. Ὁ Κύριος οὐ πρὸς τοὺς ἐγκειμένους ταῖς ἡδυπαθείαις θελήματι τὴν παραβολὴν λέγει, ἀλλὰ τοῖς ὑπὸ μόνων τῶν προλήψεων πολεμουμένοις· διὸ τοὺς μέν, ὡς ὑπὸ ἐχθρῶν ἀδικουμένους, ἐκδικῆσαι ἐπηγγείλατο, ἐκείνοις δέ, ὡς τὴν βοηθοῦσαν ἐντολὴν ἀπωθουμένοις, ἐγκαλεῖ λέγων· τί με λέγετε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; οὓς καὶ παρεικάζει ἀνδρὶ μωρῷ, ἐπὶ ψάμμου τῶν ἰδίων θελημάτων οἰκοδομοῦντι τὴν οἰκίαν αὐτοῦ.

35. Γνῶθι οὖν ἀκριβῶς, ὦ ἄνθρωπε, ὅτι ὁ Κύριος ἐφορᾷ τὰς καρδίας πάντων· καὶ τοὺς μὲν μισοῦντας τῶν πονηρῶν ἐνθυμήσεων τὴν πρωτόνοιαν παραχρῆμα ἐκδικεῖ, καθὼς ἐπηγγείλατο, καὶ οὐκ ἀφίησι τὸν ἐσμὸν τῆς πολυνοίας ἐπαναστάντα, μολύνειν αὐτῶν τὸν νοῦν καὶ τὴν συνείδησιν.

36. Τοὺς δὲ τὰς πρώτας ἀναδόσεις μὴ διὰ πίστεως καὶ ἐλπίδος ἀπολιπόντας, ἀλλ' ἐκ τοῦ καταμανθάνειν δῆθεν καὶ δοκιμάζειν πρὸς ἡδυπαθοῦντας, ἀφίησιν ὡς ἀπίστους καὶ αὐτοβοηθήτους περικρουσθῆναι ὑπὸ τῶν ἑπομένων λογισμῶν, οὓς διὰ τοῦτο οὐκ ἀναιρεῖ, ἐπειδὴ βλέπει τὴν πρὸ αὐτῶν προσβολὴν ὑφ' ἡμῶν ἀγαπωμένην, καὶ μὴ ἐκ πρώτης ἐμφανείας μισουμένην· εἰ δέ τις ἀπιστεῖ τοῖς εἰρημένοις, ἔργῳ ἐπιτηδεύσας μάθῃ τὴν ἀλήθειαν.

37. Μὴ καταφρονήσῃς ποτὲ ἐν λογισμῷ ἀμελείᾳ, ἀλάθητος γάρ ἐστιν ὁ Θεὸς ἐπὶ πάσης ἐννοίας. Ἐπίσταται ὁ ἐχθρὸς τοῦ πνευματικοῦ νόμου τὸ δίκαιον, καὶ ζητεῖ μόνον τὴν νοερὰν συγκατάθεσιν· οὕτω γὰρ ἂν ἢ τοῖς τῆς μετανοίας πόνοις ὑπεύθυνον ποιήσῃ τὸν ὑποχείριον, ἢ μὴ μετανοοῦντα, ἀκουσίοις ἐπιφοραῖς ὀδυνήσῃ αὐτόν· ἔστι δὲ ὅτε καὶ πρὸς τὰς ἐπιφορὰς ἀντιμάχεσθαι παρασκευάσῃ, ὅπως καὶ ὧδε τὰς ὀδύνας πολυπλασιάσῃ, καὶ ἐν ἐξόδῳ διὰ τὴν ἀνυπομονησίαν ἄπιστον ἀποδείξῃ.

38. Ὥσπερ ἑκάστῳ ὁ Θεὸς ἀπονέμει τὸ προσφυές, οὕτω καὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς, κἂν θέλωμεν κἂν μὴ θέλωμεν. Ἁμαρτήσας, μὴ αἰτιῶ τὴν πρᾶξιν, ἀλλὰ τὴν ἔννοιαν· εἰ μὴ γὰρ ὁ νοῦς προέδραμεν, οὐκ ἂν τὸ σῶμα ἐπηκολούθησε. Μέτρον ἔχει καὶ σταθμὸν πᾶσα ἔννοια, ἔστι γὰρ τὸ αὐτό, ἢ ἐμπαθῶς ἢ μονοτρόπως λογίσασθαι.

39. Ὅταν πᾶσαν ἑκούσιον ἀποβάλωμεν τῆς διανοίας κακίαν, τότε δυνησόμεθα ἂν πολεμῆσαι τοῖς κατὰ πρόληψιν πάθεσιν.

40. Πρόληψίς ἐστι τῶν προτέρων κακῶν μνήμη ἀκούσιος, παρὰ μὲν τῷ ἀγωνιστῇ προβῆναι εἰς πάθος κωλυομένη, παρὰ δὲ τῷ νικητῇ, ἕως προσβολῆς ἀνατρεπομένη.

41. Προσβολή ἐστιν ἀνείδωλον κίνημα καρδίας, κλεισούρας δίκην ὑπὸ τῶν ἐμπείρων προκατεχομένη· ὅπου εἰκόνες λογισμῶν, ἐκεῖ συγκατάθεσις γέγονε· κίνημα γάρ ἐστιν ἀνείδωλον, ἀναίτιος προσβολή· ἔστι δὲ ὁ ἐκ τούτων ἐκφεύγων, ὡς δαυλὸς ἀπὸ πυρὸς καὶ ἔστιν ὁ μὴ ἀναστρέφων ἕως ἂν ἐκκαύσῃ φλόγα.

42. Μὴ λέγε, ὅτι οὐ θέλω καὶ ἔρχεται· πάντως γὰρ κἂν μὴ αὐτό, τὰς αἰτίας ἀγαπᾷς τοῦ πράγματος. Ὁ λογισμοῖς συναπαγόμενος, ἐκτυφλοῦται ὑπ' αὐτῶν, καὶ τὰς μὲν ἐργασίας βλέπει, τὰς δὲ αἰτίας αὐτῶν ἰδεῖν οὐ δύναται.

43. Ὅταν ὁ νοῦς ἔξω γένηται τῶν σωματικῶν φροντίδων, βλέπει κατὰ ἀναλογίαν τὰς τῶν ἐχθρῶν πανουργίας.

44. Ἔστι κακία καρδιακῶς κατέχουσα διὰ τὴν χρονίαν πρόληψιν, καὶ ἔστι κακία λογιστικῶς πολεμοῦσα διὰ τῶν καθημερινῶν πραγμάτων. Ἐὰν μηκέτι ποιῶμεν τὰ θελήματα τῆς σαρκός, κατὰ τὴν Γραφήν, ῥᾳδίως ὑπολήξει ἐν Κυρίῳ τὰ προεγκείμενα.

45. Ὥσπερ μόσχος ἄπειρος βοτάναις ἐπιτρέχων κατήντησεν εἰς ἀμφίκρημνον τόπον, οὕτως εὑρίσκεται ψυχὴ κατὰ μικρὸν ὑπὸ λογισμῶν ἀποβουκολουμένη.

46. Ὅταν ὁ νοῦς ἀνδρισάμενος ἐν Κυρίῳ ἀποσπᾷ τὴν ψυχὴν ἀπὸ χρονίας προλήψεως, τότε ἡ καρδια ὡς ὑπὸ δημίων κολάζεται, τεινόντων αὐτὴν ἔνθα καὶ ἔνθα τοῦ νοὸς καὶ τοῦ πάθους.

47. Τῶν ἀκουσίων λογισμῶν τὰς αἰτίας ἀγαπῶμεν, καὶ διὰ τοῦτο ἐπέρχονται· τῶν δὲ ἑκουσίων, δηλονότι καὶ τὰ πράγματα. Εἰ πᾶν ἀκούσιον ἐκ τῶν ἑκουσίων τὴν αἰτίαν ἔχει, κατὰ τὴν Γραφήν, οὐδεὶς οὕτως ἐχθρὸς ἀνθρώπου, ὡς αὐτὸς ἑαυτοῦ τυγχάνει, ἑκούσιον μὲν τὸν λογισμόν, ἀκούσιον δὲ τὴν σύμβασιν.

48. Τρεῖς εἰσί νοητοὶ τόποι, εἰς οὓς ὁ νοῦς ἐκ μεταβολῆς εἰσέρχεται· κατὰ φύσιν, ὑπὲρ φύσιν, παρὰ φύσιν· καὶ ὅταν μὲν εἰς τὸν κατὰ φύσιν εἰσέλθη, εὑρίσκει ἑαυτὸν αἴτιον τῶν πονηρῶν λογισμῶν, καὶ ἐξομολογεῖται τῷ Θεῷ τὰς ἁμαρτίας, ἐπιγινώσκων τὰς τῶν παθῶν αἰτίας· ὅταν δὲ εἰς τὸν παρὰ φύσιν γένηται, ἐπιλανθάνεται τῆς δικαιοσύνης τοῦ Θεοῦ, καὶ τοῖς ἀνθρώποις διαμάχεται, ὡς ἀδικοῦσιν αὐτόν· ὅταν δὲ εἰς τὸν ὑπὲρ φύσιν εἰσαχθῇ, εὑρίσκει τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος, οὓς εἶπεν ὁ Ἀπόστολος, χαράν, εἰρήνην, ἀγάπην καὶ τὰ ἑξῆς.

49. Καὶ οἶδεν, ὅτι, ἐὰν προκρίνῃ τὰς σωματικὰς φροντίδας, ἐμμένειν ἐκεῖ οὐ δύναται, καὶ ὁ ἀναχωρῶν τοῦ τόπου ἐκείνου, ἐγγίζει καὶ ἐμπίπτει εἰς τὴν ἁμαρτίαν, καὶ εἰς τὰς ἐπακολουθούσας αὐτῇ δεινὰς συμβάσεις, κἂν μὴ πρόσφατον, ἀλλὰ τῷ ἰδίῳ καιρῷ, καθὼς οἶδεν ἡ τοῦ Κυρίου δικαιοσύνη

50. Ὅταν καὶ ἄκοντες ὑπὸ πονηρῶν λογισμῶν ἐνεργώμεθα μὴ ἄλλον αἰτιασώμεθα· ῥίζαι γὰρ λογισμῶν εἰσίν αἱ προφανεῖς κακίαι, ἃς χερσὶ καὶ ποσὶ καὶ στόμασιν ἐκδικοῦμεν ἑκάστοτε· οὐκ ἔστι κατὰ διάνοιαν πάθει προσομιλεῖν, μὴ ἀγαπῶντα τὰς τούτου αἰτίας.

51. Τὶς γὰρ αἰσχύνης καταφρονήσας, κενοδοξίᾳ προσομιλεῖ; ἢ τὶς ἐξουδένωσιν ἀγαπῶν, ἐπὶ ἀτιμίᾳ ταράσσεται; τὶς δὲ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ἔχων, ἡδονὴν σαρκὸς παραδέχεται; ἢ τὶς τῷ Χριστῷ τελείως πιστεύων, μεριμνᾷ περὶ προσκαίρων καὶ διαμάχεται;

52. Αἱ παλαιαὶ ἁμαρτίαι κατ' εἶδος μνημονευθεῖσαι, τῆς ἐλπίδος ἀφιστῶσιν, ἀλύπως δὲ ἐξεικονισθεῖσαι, τὸν παλαιὸν μολυσμὸν ἐναποτιθενται. Ὅταν ὁ νοῦς δι' ἀρνήσεως ἑαυτοῦ κρατήσῃ τὴν μονολόγιστον ἐλπίδα, τότε ὁ ἐχθρὸς προφάσει ἐξομολογήσεως τὰ προγεγενημένα κακὰ ἐξεικονίζει, ἵνα τὰ Χάριτι Θεοῦ ἐπιλησθέντα πάθη ἀναζωπυρήσῃ τότε, καὶ λεληθότως ἀδικήσῃ τὸν ἄνθρωπον.

53. Τότε γὰρ κἂν φαιδρὸς καὶ μισοπαθὴς ὑπάρχει, ἐξ ἀνάγκης σκοτισθήσεται, συγχυθεὶς ἐπὶ τοῖς πεπραγμένοις, κἂν ὁμιχλώδης ἔτι καὶ φιλήδονος εἴη, συγχρονίσει πάντως καὶ ἐμπαθῶς προσομιλήσει ταῖς προσβολαῖς, ὡς πρόληψιν εὑρεθῆναι τὴν τοιαύτην μνήμην καὶ ἐξομολόγησιν.

54. Ἐὰν θέλῃς Θεῷ προσφέρειν ἀκατάκριτον ἐξομολόγησιν, μὴ μνημόνευε κατ' εἶδος τὰς παρατροπάς, ἀλλ' ὑπόμεινον γενναίως τὰς τούτων ἐπαγωγάς· τὰ γὰρ ἀνιαρά, διὰ τὰς προλαβούσας ἐπέρχεται, πάσης πλημμελείας τὸ προσφυὲς ἐπικομιζοντα.

55. Ὁ ἐκτὸς κακουχίας καὶ ἀτιμίας προσέχειν τῇ καρδίᾳ πειρώμενος, πλανᾶται κατὰ νοῦν, καὶ ἐμπίπτει εἰς πειρασμὸν καὶ παγίδας τοῦ διαβόλου· οὔτε τοὺς κακοὺς λογισμοὺς ἐκτὸς τῶν αἰτιῶν, οὔτε τὰς αἰτίας ἐκτὸς τῶν λογισμῶν ἔστι πολεμοῦντα νικῆσαί ποτε· ὅταν γὰρ τὸ ἓν μονομερῶς ἀποβάλωμεν, μετ' οὐ πολὺ διὰ τοῦ ἑτέρου τοῖς ἀμφοτέροις ἐμφυρόμεθα.

56. Οἱ ἀκούσιοι λογισμοί, ἐκ προλαβούσης ἁμαρτίας ἀναφύονται, οἱ δὲ ἑκούσιοι, ἐκ τοῦ αὐτεξουσίου θελήματος· ὅθεν αἴτιοι εὑρίσκονται ἐκ τῶν προτέρων οἱ δεύτεροι.

57. Ταῖς μὲν παρὰ πρόθεσιν καναῖς ἐννοίαις, λύπη παρέπεται, διὸ καὶ συντόμως ἐξαφανίζονται, ταῖς δὲ κατὰ πρόθεσιν χαρά, ὅθεν καὶ δυσαπάλλακτοι γίνονται. Εἰ βούλει μὴ ἐνεργεῖσθαι ὑπὸ πονηρῶν λογισμῶν, ἐξουδένωσιν ψυχῆς καὶ

θλῖψιν σαρκὸς ὑποδέχου· καὶ τοῦτο οὐ μερικῶς, ἀλλ' ἐν παντὶ τόπῳ, καὶ καιρῷ, καὶ πράγματι.

58. Ὁ τοῖς θλιβεροῖς ἑκουσίως ἐμπαιδευόμενος, ὑπὸ τῶν ἀκουσίων λογισμῶν οὐ κατέχεται, ὁ δὲ τὰ πρότερα μὴ καταδεχόμενος, ὑπὸ τῶν δευτέρων, καὶ μὴ βουλόμενος, αἰχμαλωτίζεται.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ ἐρωτοῦν: Ἐφ' ὅσον, διὰ τοῦ ἁγίου Βαπτίσματος, παύει νὰ ὑπάρχῃ εἰς τὴν ψυχὴν ἡμῶν ἡ ἁμαρτία, τότε διατὶ καὶ μετὰ τὸ Βάπτισμα ἐνεργεῖ εἰς τὴν καρδίαν ἡμῶν; Εἰς τὴν ἀπορίαν αὐτὴν ἀπαντῶμεν: Ἡ ἁμαρτία δὲν ἐνεργεῖ ἐν ἡμῖν, μετὰ τὸ ἅγιον Βάπτισμα, ἀφ' ἑαυτῆς, ὡς ἔχουσα ἰδίαν δύναμιν νὰ ἐνεργῇ καθ' ἡμῶν καὶ ἐγκαταλειφθεῖσα ἀκόμη, ἀλλὰ διότι ἡμεῖς ἐξακολουθοῦμεν νὰ τὴν ἀγαπῶμεν καὶ νὰ παραλείπωμεν, χάριν αὐτῆς, τὰς ἐντολὰς τοῦ Θεοῦ.

2. Τὸ μὲν ἅγιον Βάπτισμα δηλαδὴ δίδει τελείαν ἀπαλλαγὴν ἀπὸ τῆς ἁμαρτίας· ἡ ἐπανασύνδεσις ὅμως τοῦ ἀναγεννηθέντος ἀνθρώπου μὲ τὴν ἁμαρτίαν, διὰ τῆς πρὸς κακίαν προσπαθείας, ἢ ἡ διατήρησις τῆς ἐκ τῆς ἁμαρτίας ἀπαλλαγῆς, διὰ τῆς ἐργασίας τῶν ἐντολῶν, ὀφείλεται ἀποκλειστικῶς καὶ μόνον εἰς τὴν αὐτεξούσιον προαίρεσιν τοῦ ἀνθρώπου. Τὸ νὰ ἀπασχολῆται δηλαδὴ ὁ λογισμός μας ἐπὶ πολὺν χρόνον μὲ κάποιαν ἡδονὴν ἢ μὲ τὸν θυμὸν εἶναι ἀπόδειξις τῆς προσπαθείας, ποὺ προέρχεται ἀπὸ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου καὶ ὄχι κατάλοιπον ἐγκαταλειφθείσης, μετὰ τὸ ἅγιον Βάπτισμα, ἁμαρτίας· διότι ἔχομεν ἐξουσίαν νὰ ἀποβάλωμεν ἀπὸ τὴν διάνοιαν ἡμῶν λογισμοὺς καὶ νὰ κατακρημνίζωμεν κάθε ἐμπόδιον ποὺ ὑψώνεται, διὰ νὰ μᾶς ἐμποδίσῃ ἀπὸ τὴν γνῶσιν τοῦ Θεοῦ, ὅπως λέγει ἡ Ἁγία Γραφή (1).

3. Ὁ πονηρὸς λοιπὸν λογισμὸς δι' ἐκείνους, οἱ ὁποῖοι τὸν ἐκμηδενίζουν καὶ τὸν ἀχρηστεύουν μέσα εἰς τὴν διάνοιάν των, εἶναι σημεῖον πρὸς Θεὸν ἀγάπης καὶ ὄχι ἁμαρτίας. Διότι ἡ ἁπλῆ ἐπίθεσις τοῦ λογισμοῦ δὲν εἶναι ἁμαρτία, ἀλλὰ μόνον ἡ συγκατάθεσις τῆς διανοίας ἡμῶν μὲ τὸν ἐπιτεθέντα λογισμόν. Ἐὰν δὲ πράγματι καὶ εἰλικρινῶς δὲν ἀγαπῶμεν τὸν λογισμόν, ποὺ προσέβαλε τὴν ψυχήν μας, τότε διατὶ ἀπασχολούμεθα ἐπὶ πολὺν χρόνον μὲ τὸν λογισμὸν αὐτόν;

Εἶναι ἀδύνατον ἐκεῖνο ποὺ μὲ ὅλην ἡμῶν τὴν καρδίαν μισοῦμεν, νὰ παρατείνῃ εἰς τὴν καρδίαν ἡμῶν τὴν παρουσίαν του· ἡ παράτασις αὐτὴ θὰ ὀφείλεται εἰς ἑκουσίαν προσωπικὴν ἡμῶν διάθεσιν νὰ διαπράττωμεν τὸ κακόν.

4. Ἔχεις λοιπόν, ἄνθρωπε, τὴν δύναμιν καὶ τὰ ὅπλα νὰ κατανικήσῃς τοὺς λογισμούς, ποὺ προσβάλλουν τὴν καρδίαν καὶ τὴν διά-

---

1) «Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων· λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ» (Β' Κορ. ι' 4—5).

νοιάν σου. Ἰδοὺ τί σχετικῶς γράφει καὶ ἡ Ἁγία Γραφή· «Τὰ ὅπλα τῆς πνευματικῆς ἡμῶν ἐκστρατείας κατὰ τοῦ κακοῦ, δὲν εἶναι σαρκικά, ἀλλ' ἔχουν ἐκ Θεοῦ τὴν δύναμιν, νὰ κατακρημνίζουν ὀχυρώματα καὶ λογισμούς» (1).

Ἐὰν δέ, ἐνῷ ἔχεις εἰς τὴν διάθεσίν σου τοιοῦτον ἀποτελεσματικὸν εἰς δύναμιν ὁπλοστάσιον κατ' αὐτῶν, δὲν ἀχρηστεύῃς τοὺς πονηροὺς λογισμούς, εὐθὺς μόλις προσβάλλουν τὴν διάνοιάν σου, τότε φανερώνεις ὅτι, ἀπὸ ἀπιστίαν, ἀγαπᾷς τὴν ἡδονὴν καὶ συντροφεύεις μὲ τοὺς λογισμοὺς αὐτούς· ἐν τοιαύτῃ δὲ περιπτώσει σὺ εἶσαι ὑπαίτιος καὶ ἔνοχος τῆς τοιαύτης ἐφαμάρτου ἐνεργείας καὶ ὄχι κατάλοιπόν τι ἐκ τοῦ προπατορικοῦ ἁμαρτήματος.

Ἐρώτησις

5. Πληροφόρησόν με, παρακαλῶ· πῶς εἶναι δυνατόν, ἀπὸ ἀπιστίαν μάλιστα, νὰ ἀγαπᾷ τὴν ἡδονὴν καὶ νὰ δίδῃ σημασίαν εἰς τοὺς πονηροὺς λογισμοὺς ἐκεῖνος, ὅστις ἐφυλακίσθη ἑκουσίως εἰς τὸ κελλίον του, καθημερινῶς νηστεύει καὶ ἐγκρατεύεται, πτωχεύει καὶ διάγει ὡς ξένος εἰς αὐτὸν τὸν κόσμον, ἀγρυπνεῖ καθ' ἑκάστην νύκτα, κοιμᾶται εἰς τὸ ἔδαφος καὶ συνεχῶς προσεύχεται; Εἰπέ μου, λοιπόν, πῶς εἶναι δυνατὸν αὐτὸς ὅστις τοιαύτας θλίψεις ὑποφέρει, μὲ τὴν θέλησίν του, διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ, νὰ δοκιμάζῃ φιληδόνους σκέψεις καὶ νὰ ἐνοχλῆται ἀπὸ ταπεινοὺς λογισμούς;

Ἀπόκρισις

6. Καλῶς εἶπες, ὅτι ἐνοχλεῖται ἀπὸ φιληδόνους σκέψεις αὐτὸς ποὺ μὲ θλῖψιν ἐπιτελεῖ τὰ ἔργα, τὰ ὁποῖα περιέγραψες, διότι ἐὰν ἐκτελῶμεν τὰς φανερὰς αὐτὰς ἀρετάς, χωρὶς ψυχικὴν κατάθλιψιν, χαρούμενοι καὶ ἐξ ἀγάπης πρὸς τοὺς πνευματικοὺς κόπους, δὲν εἶναι δυνατὸν νὰ ἀπασχολῇ τὸν νοῦν ἡμῶν φιληδονία. Ἀκόμη πρέπει νὰ γνωρίζῃς, ὅτι εἶναι ἀδύνατον, αὐτὸς ποὺ ὑποφέρει, ἐξ αἰτίας τῶν σωματικῶν κόπων, νὰ μὴ συγκατατίθεται, κατ' ἀναλογίαν, μὲ τὰς ἐπιθέσεις τῶν λογισμῶν, καὶ νὰ παρηγορῇ δι' αὐτῶν τὴν ἐκ τῶν κόπων δοκιμαζομένην ὑπ' αὐτοῦ πικρίαν· διότι ἐὰν ὁ τοιοῦτος ἄνθρωπος δὲν ἐπεθύμει, κατὰ βάθος, αὐτὸ τὸ πρᾶγμα, ἀσφαλῶς τότε οὔτε καὶ διὰ τοὺς κόπους, ἐκ τῆς ἐπιτελέσεως τῶν ἀσκητικῶν ἀρετῶν, θὰ ἐστενοχωρεῖτο. Συμβαίνει δὲ νὰ μᾶς κουράζουν οἱ κόποι διὰ τὴν ἐκπλήρωσιν τῶν ἀσκητικῶν καθηκόντων, καὶ ἡ ἐν γένει προσπάθεια διὰ τὴν ἀρετήν, ἐπειδὴ δὲν ταλαιπωρούμεθα σωματικῶς ἀπὸ τὸν πόθον διὰ τὴν ἀπόλαυσιν τῶν μελλόντων ἀγαθῶν, ἀλλὰ ἀπὸ τὸν φόβον τῶν ἐπερχομένων εἰς ἡμᾶς, κατὰ τὴν παροῦσαν ζωήν, πειρασμῶν (2).

---

1) Ἐκ τῆς Β' πρὸς Κορινθίους (ι' 4 -5) ἐπιστολῆς τοῦ θείου Παύλου, (βλ. ὑποσημ. σελ. 162).

2) Θαυμασία καὶ ἐξαιρετικὴ ἡ ἄποψις αὐτη. Τὸ ἀγαθὸν πρέπει νὰ τὸ ἐπι

7. Δι᾿ αὐτὸν ἀκριβῶς τὸν λόγον τὴν κακὴν πρᾶξιν νομίζομεν ὅτι εἶναι ἰδική μας ἁμαρτία, ἐνῷ τὸν λογισμόν, ὅστις μᾶς ἐνέπνευσε τὴν πρᾶξιν αὐτήν, τὸν θεωροῦμεν, ὅτι εἶναι ξένη ἐνέργεια· εἶναι δὲ ἀδύνατον νὰ ἀποστραφοῦν τὴν ἐνέργειαν αὐτὴν τῶν λογισμῶν, ὅσοι δὲν τὴν θεωροῦν ἰδικήν των, ἀλλὰ ξένην. Εἶναι δὲ δυνατὸν νὰ μᾶς ἐνοχλήσῃ καὶ ἕνας σιχαμερὸς λογισμός, χωρὶς καμμίαν ἰδικήν μας συγκατάθεσιν ἢ ἔστω καὶ χωρὶς κανένα συνδυασμὸν τῆς διανοίας μας καὶ ὁ λογισμὸς αὐτὸς νὰ προκαλέσῃ τὸ μῖσος ἡμῶν. Ὅπως ἀκριβῶς θὰ συνέβαινεν, ἐὰν ἐνεφανίζετο ἐνώπιον ἡμῶν ἀπροόπτως ἕνας ληστής. Ὁ ληστρικὸς αὐτὸς λογισμὸς καταλαμβάνει, ὡς διὰ βίας, τὸν νοῦν ἡμῶν, καὶ τὸν κρατεῖ αἰχμάλωτον.

8. Παρ᾿ ὅλα ταῦτα ὅμως, σὲ πληροφορῶ, ὅτι καὶ αὐτὸς ὁ λογισμός, ποὺ διέρχεται ἀπὸ τὸν νοῦν ἡμῶν τόσον ἀπροσδοκήτως, ὅσον ὁ ἀποτόμως ἐμφανιζόμενος ληστής, ἔχει τὰς γενεσιουργοὺς ἀφορμάς του εἰς τὴν ψυχὴν ἡμῶν· αὗται δὲ αἱ ἀφορμαὶ ὀφείλονται ἢ εἰς τὸ γεγονός, ὅτι μετὰ τὸ ἅγιον Βάπτισμα ἀφήσαμεν τὸν ἑαυτόν μας νὰ παραδοθῇ εἰς κάποιον πονηρὸν λογισμὸν καὶ ἐπετελέσαμεν τὴν πρᾶξιν, ποὺ μᾶς ὑπέδειξε, ἢ εἰς τὸ γεγονός, ὅτι διατηροῦμεν θεληματικὰ εἰς τὴν ψυχήν μας μερικὰ σπέρματα κακίας· δι᾿ αὐτὸ εὑρίσκει τόπον εἰς τὴν ψυχὴν ἡμῶν ὁ πονηρὸς καὶ ὀχυρώνεται ἐναντίον μας.

9. Καὶ ὁ μὲν λογισμός, ὅστις προσωρινῶς μᾶς ἐπεβλήθη, λόγῳ τῶν ἐν ἡμῖν σπερμάτων τῆς κακίας, τότε μόνον ἀναχωρεῖ ἐξ ἡμῶν, ὅταν ἀπορρίψωμεν τὰ σπέρματα αὐτά· ὁ λογισμός, πάλιν, ποὺ παραμένει ἐξ ἀφορμῆς τῆς κακῆς πράξεως, τὴν ὁποίαν ἐπετελέσαμεν, τότε μόνον φυγαδεύεται, ὅταν προσφέρωμεν εἰς τὸν Θεὸν κόπους ἀξίους τῆς μετανοίας. Καὶ φυγαδεύεται, διότι τὸν διαλύει ὁ Θεὸς ἐκδυσωπούμενος πρὸς τοῦτο ἀπὸ τὴν ἐλεημοσύνην, τὴν προσευχὴν καὶ τὴν ὑπομονήν, ποὺ πρέπει νὰ ἐπιδεικνύωμεν διὰ τὰ κακά, ποὺ μᾶς εὑρίσκουν. Δι᾿ αὐτὸ καὶ ἐγὼ λέγω, ὅτι ἡ ἁμαρτία αὐτὴ δὲν ὀφείλεται εἰς τὴν ἐν ἡμῖν ἐνέργειαν τοῦ προπατορικοῦ ἁμαρτήματος τοῦ Ἀδάμ, ἀλλ᾿ εἶναι προσωπικὴ καὶ αὐτογενὴς ἁμαρτία ἐκείνου ποὺ διέπραξε, μετὰ τὸ ἅγιον Βάπτισμα, τὸ κακόν, ἢ διατηρεῖ, θεληματικά, τὰ σπέρματα τοῦ κακοῦ.

10. Ἐὰν πάλιν μοῦ ἀντιτείνῃς, ὅτι ὁ φιλήδονος λογισμὸς προηγήθη καὶ τῶν δύο προσδιοριζομένων ἀφορμῶν, τῆς κακῆς πράξεως δηλαδὴ καὶ τῶν σπερμάτων τοῦ κακοῦ, καὶ ζητεῖς νὰ σὲ πληροφορήσω, ποία εἶναι τότε ἡ αἰτία τοῦ λογισμοῦ, σοῦ ἀπαντῶ: Ἡ αἰτία εἶσαι σὺ ὁ ἴδιος, ποὺ εἶχες ὅλην τὴν ἐξουσίαν νὰ τὸν ἀποκρούσῃς, μόλις σοῦ ἐπετέθη, καὶ δὲν τὸν ἀπέκρουσες, ἀλλὰ τὸν ἄφησες νὰ σὲ συντροφεύῃ

τελοῦμεν ἀποκλειστικῶς καὶ μόνον ἐξ ἀνωτέρας καὶ γνησίας ἀγάπης πρὸς αὐτό, καὶ οὐχὶ ἐκ φόβου. Ψυχή, ἥτις ἐκ φόβου ἐνεργεῖ τὸ ἀγαθόν, ἑπόμενον εἶναι νὰ ἀναζητήσῃ μίαν ἀνακούφισιν, διὰ τὴν κατάθλιψιν ὑφ᾿ ἧς καταλαμβάνεται, μέσα εἰς τὴν περιοχὴν τῶν ἰδίων αὐτῆς σκέψεων καὶ στοχασμῶν, φιληδόνων καὶ ἐφαμάρτων ἐνίοτε.

μέχρι τῆς ἐκτελέσεως τῆς κακῆς πράξεως, ποὺ σοῦ ὑπεδείκνυεν. Ἐὰν δὲ δὲν εἶχες τὴν δύναμιν, πρὸ τῆς πράξεως, νὰ τὸν κατανικήσῃς τελείως, λόγῳ τῆς ἀσθενείας τοῦ νοός, πῶς τώρα ὑπόσχεσαι νὰ τὸν ἐκριζώσῃς, μετὰ τὴν πρᾶξιν τῆς ἁμαρτίας, ὅταν πλέον ἔχῃ ὀχυρωθῆ ἀπὸ τὰ γενόμενα καὶ σὲ κατέχῃ βιαίως;

11. Ἐὰν πάλιν ὁμολογῇς, ὅτι μὲ τὴν βοήθειαν τοῦ Θεοῦ θὰ ἐκριζώσῃς τὸν πονηρὸν λογισμόν, κατάλαβε τότε, ὅτι καὶ πρὶν νὰ ἐκτελέσῃς τὴν ὑπὸ τοῦ πονηροῦ λογισμοῦ ὑποβληθεῖσαν εἰς σὲ πρᾶξιν, θὰ σὲ ἐβοήθει ὁ Θεός, ἐὰν τὸ ἤθελες καὶ τὸ ἐπεζήτεις. Ὅταν, τέλος, ἀντιληφθῇς, μέσα εἰς τὴν καρδίαν σου, τὴν προσγενομένην εἰς σὲ βοήθειαν τοῦ Θεοῦ, τότε ἀσφαλῶς θὰ ἐννοήσῃς, ὅτι ἡ χάρις αὐτὴ δὲν ἔχει ἐπέλθῃ εἰς σὲ ἀπ᾽ ἔξω, κινουμένη ἔκ τινος πηγῆς, ἀλλ᾽ ἔχει δοθῆ εἰς σέ, κατὰ τρόπον ἀνεξέλεγκτον ἀπὸ τὴν λογικήν, διὰ τοῦ ἁγίου Βαπτίσματος. Εἰς δὲ τὴν συγκεκριμένην περίπτωσιν ἐνήργησεν ἐπὶ σὲ τόσον, ὅσον καὶ σὺ ἀπεμακρύνθης ἀπὸ τὸν λογισμόν· ἡ ἐν σοὶ δηλαδὴ ἐκδήλωσις τῆς θείας βοηθείας ὑπῆρξεν ἀνάλογος τοῦ μίσους καὶ τῆς ἀποστροφῆς σου πρὸς τὸν πονηρὸν λογισμόν.

12. Δι᾽ αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐλευθερώσας ἡμᾶς ἀπὸ πᾶσαν βίαν καὶ ἐξαναγκασμόν, δὲν ἠμπόδισε τὴν παρενόχλησιν τῆς καρδίας ἀπὸ τοὺς λογισμούς, ὥστε ἄλλοι μὲν ἐκ τῶν λογισμῶν νὰ ἐξαφανίζωνται ἀμέσως, μισούμενοι ὑπὸ τῆς καρδίας, ἄλλοι δέ, ἀγαπώμενοι ὑπ᾽ αὐτῆς, νὰ παραμένωσιν εἰς αὐτὴν ἐπὶ τοσοῦτον, ἐφ᾽ ὅσον διαρκεῖ καὶ παραμένει καὶ ἡ πρὸς αὐτοὺς ἀγάπη τῆς καρδίας, διὰ νὰ ἀποδειχθῇ τοιουτοτρόπως καὶ ἡ Χάρις τοῦ Χριστοῦ καὶ τὸ θέλημα τοῦ ἀνθρώπου· ἐὰν δηλαδὴ ὁ ἄνθρωπος ἀγαπᾷ τοὺς κόπους διὰ νὰ ἀπολαύσῃ τὴν Χάριν ἢ προτιμᾷ τοὺς λογισμοὺς διὰ τὴν ἀπόλαυσιν τῆς ἡδονῆς.

13. Καὶ ἃς μὴ παραξενευώμεθα ἐὰν ἐνεργοῦν μετὰ σφοδρότητος καὶ βίας εἰς τὴν καρδίαν ἡμῶν τόσον οἱ ἀγαπώμενοι λογισμοί, ὅσον καὶ οἱ μισούμενοι, διότι αἱ προσβολαὶ τῶν λογισμῶν κατὰ τῆς καρδίας συνεργάζονται μὲ τὰς ἐπιθυμίας ἡμῶν, ὡς πονηροὶ συγγενεῖς· οὕτω καὶ κάθε μία ἐκ τῶν ἐπιθυμιῶν αὐτῶν, ἀφοῦ συγχρονίσῃ τὴν προσβολήν της κατὰ τῆς καρδίας μας μὲ τὰς ἄλλας, παραδίδει τὸν λογισμόν μας εἰς τὴν ἐπιθυμίαν, ἡ ὁποία τὴν ἀκολουθεῖ, ὥστε νὰ παρασύρεται οὗτος ὑπὸ τῆς δευτέρας ταύτης ἐπιθυμίας εἰς πονηρὰς σκέψεις, ἔστω καὶ παρὰ τὴν θέλησίν του, καὶ κατ᾽ αὐτὸν τὸν τρόπον νὰ σύρεται, κατ᾽ ἀνάγκην πλέον, πρὸς τὴν πρώτην ἐπιθυμίαν διὰ τῆς συνηθείας.

14. Ἂς ἴδωμεν τοῦτο καὶ εἰς τὴν πραγματικότητα· ποῖος, ὡς ἐπὶ παραδείγματι, ἀφοῦ ἐφούσκωσεν ἀπὸ κενοδοξίαν, θὰ δυνηθῇ νὰ ἀποφύγῃ τὴν ὑπερηφάνειαν; Ἤ, ποῖος, ἀφοῦ ἐχόρτασεν ὕπνον καὶ ἀπήλαυσε καλοπέρασιν, δὲν θὰ αἰχμαλωτισθῇ ἀπὸ λογισμοὺς πορνείας; Ἢ ποῖος, ἀφοῦ κατελήφθη ἀπὸ πλεονεξίαν, δὲν κυριεύεται ἀπὸ ἀσπλαγχνίαν; Πῶς, τέλος, εἶναι δυνατόν, ὅλοι ὅσοι ἀποστεροῦνται ἀπὸ

ὅλα αὐτά, παρὰ τὴν γνώμην καὶ τὴν θέλησίν των, νὰ μὴ θυμώσουν καὶ νὰ μὴ ὀργισθοῦν;

15. Δι' αὐτὸ πρέπει νὰ καταλάβωμεν, ὅτι πειραζόμεθα ὑπὸ τῆς ἁμαρτίας, ἐξ ὑπαιτιότητος ἡμῶν, διότι ἠλευθερώθημεν ἀπὸ τὴν ἐξαναγκαστικὴν δουλείαν, κατὰ τὸ γραφικὸν «Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου» (Ρωμ. η' 2).

16. Κατὰ συνέπειαν εἶναι εἰς τὴν ἀπόλυτον ἐξουσίαν ἡμῶν, ποὺ ἠκούσαμεν καὶ ἐμάθαμεν τὰς ἐντολὰς τοῦ Πνεύματος, ἢ νὰ βαδίσωμεν τὸν δρόμον τῆς ζωῆς ἡμῶν ὑποτεταγμένοι εἰς τὴν σάρκα, ἢ συμφώνως πρὸς τὰς ἐμπνεύσεις καὶ τὰς ἐπιταγὰς τοῦ Πνεύματος. Θὰ πρέπει ὅμως νὰ γνωρίζωμεν, ὅτι εἶναι ἀδύνατον νὰ βαδίσουν ὡς πνευματικοὶ ἄνθρωποι αὐτοί, οἱ ὁποῖοι ἔχουν ἀγαπήσει τὸν ἔπαινον τῶν ἀνθρώπων καὶ ἐπιθυμοῦν τὴν ἄνεσιν τῆς σαρκός· ὅπως, ἐπίσης, εἶναι ἀκατανόητον νὰ ζήσουν σαρκικῶς αὐτοί, ποὺ μὲ ὅλην των τὴν ψυχικὴν διάθεσιν προετίμησαν τὰ μέλλοντα ἀγαθὰ ἀπὸ τὰ παρόντα καὶ πρόσκαιρα.

17. Δι' αὐτὸ λοιπὸν πρέπει ἡμεῖς, ποὺ ἀρκετὰ ἐπλανήθημεν, νὰ μισήσωμεν τὸν ἔπαινον τῶν ἀνθρώπων καὶ τὴν ἄνεσιν τῆς σαρκός, διότι, δι' αὐτῶν, οἱ πονηροὶ λογισμοί, καὶ ὅταν ἀκόμη ἡμεῖς δὲν τὸ θέλωμεν, ξεφυτρώνουν (εἰς τὴν διάνοιαν ἡμῶν) καὶ νὰ εἴπωμεν εἰς τὸν Κύριον, μὲ ὅλην τὴν ἁγνότητα τῆς διαθέσεως ἡμῶν, τὸ ῥητὸν τοῦ Προφήτου· «Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι» (Ψαλμ. ρλη' 21—22).

18. Καὶ πράγματι ἐχθροὶ τοῦ Θεοῦ εἶναι οἱ πονηροὶ λογισμοί, ἐφ' ὅσον ἐμποδίζουν νὰ γίνῃ τὸ θέλημα τοῦ Θεοῦ· ὁ Θεὸς δηλαδὴ θέλει ὅλοι οἱ ἄνθρωποι νὰ σωθοῦν καὶ νὰ ἔλθουν εἰς ἐπίγνωσιν ἀληθείας, ὡς διαβεβαιοῖ ὁ θεῖος Παῦλος, λέγων· «Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν» (Α' Τιμ. β' 4), ἐνῷ ἐκεῖνοι, οἱ λογισμοί, διὰ τῆς προσπαθείας των, μᾶς ἀποπλανοῦν ἐδῶ καὶ ἐκεῖ, καὶ μᾶς ἐμποδίζουν ἀπὸ τὴν σωτηρίαν μας.

19. Ὅταν λοιπὸν μισήσωμεν τελείως αὐτοὺς τοὺς πονηροὺς λογισμοὺς καὶ ἐμπιστευθῶμεν ὅλα ἡμῶν τὰ ζητήματα εἰς τὸν Κύριον, στρέφοντες πρὸς Αὐτὸν ἑκάστην μας σκέψιν καὶ λογισμόν, διὰ μιᾶς ἐγκαρδίου ἐλπίδος, κατεχούσης ἀποκλειστικῶς τὴν διάνοιαν ἡμῶν, τότε, ὅπως ἀκριβῶς εἰς τὴν ἀρχὴν τῆς πίστεως, ἡ ὁποία ἐνεφυτεύθη εἰς ἡμᾶς διὰ τοῦ ἁγίου Βαπτίσματος, τὸ Σῶμα τοῦ Χριστοῦ ἔγινε τροφὴ τοῦ πιστοῦ, τοιουτοτρόπως ὁ βεβαιόπιστος καὶ καθαρὸς νοῦς, διὰ τῆς νοερᾶς ἐλπίδος καὶ ἀρνήσεως τῶν πονηρῶν λογισμῶν, θὰ γίνῃ τροφὴ τοῦ Ἰησοῦ, ποὺ εἶπεν· «Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με» (Ἰωάν. δ' 34)· ἰδική μου, δηλαδή, τροφὴ εἶναι νὰ ἐκτελῶ τὸ θέλημα τοῦ Πατρός μου, ποὺ μὲ ἀπέστειλε.

20. Ποῖον δὲ εἶναι τὸ *θέλημα τοῦ ἐπουρανίου Πατρός;*

Τὸ νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ ἔλθουν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, ὅπως λέγει καὶ ὁ Ἀπόστολος Παῦλος! (Α' Τιμ. β' 4.— βλέπε ἀνωτέρω παράγραφος 18).

Ἡ ἀλήθεια αὕτη, περὶ ἧς ὁ Ἀπόστολος Παῦλος λέγει, ἀνευρίσκεται (ὑπὸ τοῦ νοὸς) κατὰ τὸ μέτρον τῆς νοερᾶς ἐλπίδος, διὰ τῆς (ἐν ἡμῖν) ἐνεργείας τοῦ Ἁγίου Πνεύματος· καὶ αὐτὴ ἡ ἀλήθεια εἶναι ἡ αἰσθητοποίησις τῶν ἐλπιζομένων (ἀγαθῶν) (1).

21. Αὐτὴν τὴν ἀλήθειαν δὲν εἶναι δυνατὸν νὰ δεχθῇ ἡ διάνοια τοῦ ἀβαπτίστου ἢ τοῦ ἔχοντος ἐσφαλμένην πίστιν· διότι ἡ ἀλήθεια αὕτη, ὡς ὀφειλομένη εἰς τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος, δίδεται, πρώτην φοράν, εἰς τοὺς πιστούς, κατὰ τρόπον μυστικόν, διὰ τοῦ ἁγίου Βαπτίσματος καὶ παραμένει ἐντὸς τοῦ ψυχικοῦ κόσμου τοῦ πιστοῦ, κεκαλυμμένη ὅμως· ἐν συνεχείᾳ δὲ ἡ οὕτω πως κεκαλυμμένη ἀλήθεια ἀποκαλύπτεται (2) εἰς τὸν πιστὸν σιγὰ - σιγά, κατὰ τὸ μέτρον τῆς ὑπὸ τοῦ πιστεύοντος ἐργασίας τῶν ἐντολῶν καὶ τῆς νοερᾶς ἐλπίδος. Αὐτὸ στηρίζεται εἰς τὸν λόγον τοῦ Κυρίου, εἰπόντος· «Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ρεύσουσιν ὕδατος ζῶντος» (Ἰωάν. ζ' 38), ὑπ' αὐτὸ δὲ ὁ Κύριος ἠννόει, ὡς γνωστόν, τὸ Πνεῦμα, ποὺ ἐπρόκειτο νὰ λαμβάνουν οἱ πιστεύοντες εἰς Αὐτόν· «Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς Αὐτὸν» (Ἰωάν. ζ' 39).

22. Καὶ τοῦτο ἀκόμη πρέπει νὰ γνωρίζωμεν, ὅτι τὴν παράβασιν τοῦ Ἀδάμ, αὐτὴν καθ' ἑαυτήν, δὲν τὴν ἐκληρονομήσαμεν καὶ ἡμεῖς· τοῦτο δὲ διότι καὶ ὁ ἴδιος ὁ Ἀδὰμ περιέπεσεν εἰς παράβασιν, οὐχὶ ἐξ ἀνάγκης, ἀλλ' ἐξ ἐλευθέρας καὶ ἀβιάστου θελήσεως· τὸν θάνατον ὅμως, ὅστις προῆλθεν ἐκ τῆς παραβάσεως, καὶ ὁ ὁποῖος, κατ' οὐσίαν, εἶναι αἰωνία ἀποξένωσις τοῦ ἀνθρώπου ἀπὸ τὸν Θεόν, ἀναγκαστικῶς τὸν ἐκληρονομήσαμεν, ἐπειδὴ καὶ τὸν Ἀδὰμ ἀναγκαστικῶς τὸν ἠχμαλώτισεν ὁ θάνατος. Ἐφ' ὅσον λοιπὸν ἀπέθανεν ὁ πρῶτος ἄνθρωπος, ἀπεξενώθη δηλαδὴ αἰωνίως ἀπὸ τὸν Θεόν, οὔτε καὶ ἡμεῖς ἦτο δυνατὸν νὰ ζήσωμεν ἐν Θεῷ· «ἀλλ' ἐβασίλευσεν ὁ θάνατος.......καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως τοῦ Ἀδὰμ» (Ρωμ.

1) «Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων» (Ἑβρ. ια' 1).

2) Δὲν πρόκειται περὶ ἀληθείας, τὴν ὁποίαν ὁ ἄνθρωπος οἰκειοῦται διὰ γνώσεως καὶ μαθήσεως (τοιαύτη, ἔν τινι μέτρῳ, εἶναι καὶ ἡ χριστιανικὴ ἀλήθεια, κατά τε τὴν δογματικὴν αὐτῆς μορφὴν καὶ τὴν ἱστορικὴν διερεύνησιν τῆς ἐν χρόνῳ πορείας της)· πρόκειται περὶ ἀληθείας, τὴν ὁποίαν ΑΠΟΚΑΛΥΠΤΕΙ ἐν τῇ καρδίᾳ τὸ Ἅγιον Πνεῦμα, ὑπὸ ὡρισμένας προϋποθέσεις, καὶ τὴν ὁποίαν κατέχει ὁ ἄνθρωπος ὡς εὐχάριστον καὶ ὡραῖον βίωμα ἐλπίδος. Δηλαδή, ἐν τῇ προκειμένῃ περιπτώσει, ὁ Θεὸς συνιστᾷ καὶ φιλοσοφικὴν ἀλήθειαν, ἀλλὰ καὶ φωτεινὴν πληρότητα εὐσεβοῦς καρδίας. Τοιοῦτόν τι ὑποσημαίνει καὶ ὁ Μακαρισμὸς «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται» (Ματθ. ε' 8).

ε' 14) (1). Διὰ τοῦτο ἦλθεν ὁ Κύριος, διὰ νὰ μᾶς δώσῃ νέαν ζωὴν διὰ τοῦ λουτροῦ τῆς ἀναγεννήσεως, δηλαδὴ τοῦ ἁγίου Βαπτίσματος, καὶ νὰ μᾶς συμφιλιώσῃ μὲ τὸν Θεόν, ὅπερ καὶ ἔπραξεν.

23. Εἰς τὴν περίπτωσιν λοιπὸν τοῦ προπάτορος Ἀδὰμ τρία γεγονότα ἔχουν συντρέξει· καὶ αὐτὰ εἶναι: α) Κατ' οἰκονομίαν προσβολὴ τοῦ Ἀδὰμ (ὑπὸ τοῦ Διαβόλου). β) Παράβασις τῆς ἐντολῆς τοῦ Θεοῦ ὑπὸ τοῦ Ἀδάμ, λόγῳ ἀπιστίας πρὸς τὸν Θεόν. γ') Ὁ ἐπακολουθήσας θάνατος τῶν Πρωτοπλάστων, κατὰ δικαίαν κρίσιν τοῦ Θεοῦ.

Ὁ θάνατος δὲ ποὺ ἐπηκολούθησε, δὲν εἶχεν ὡς αἰτίαν τὴν ἐξ οἰκονομίας προσβολὴν τῶν Πρωτοπλάστων, ἀλλὰ τὴν ἐξ ἀπιστίας παράβασιν ὑπ' αὐτῶν τοῦ θείου θελήματος.

Ἡμεῖς λοιπόν, ὅπως ἀνέφερα ἀμέσως προηγουμένως, μόνον τὸν θάνατον ἐκληρονομήσαμεν, ἐπειδὴ δὲν ἦτο δυνατὸν ἀπὸ θνητοὺς νὰ προέλθωσιν ἀθάνατοι, μέχρις ὅτου ἦλθεν ὁ Κύριος καὶ ἐζωοποίησεν ὅλους, ὅσοι ἐπίστευσαν εἰς Αὐτόν.

24. Τὴν πρώτην ἐκείνην διανοητικὴν κατάστασιν καὶ ἁπλότητα τῶν Πρωτοπλάστων ἔχομεν, κατ' οἰκονομίαν, ὅπως ἀκριβῶς καὶ ἐκεῖνος, ὁ Ἀδάμ· καὶ τοῦ γεγονότος τούτου, ὅτι δηλαδὴ ὑπάρχουν ἄνθρωποι μὲ τοιαύτην πρωτόπλαστον ἁπλότητα νοός, ἀπόδειξις «οἱ μὴ ἁμαρτήσαντες ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως τοῦ Ἀδὰμ» (Ρωμ. ε' 14)· ἀλλὰ τὴν μὲν προσβολὴν τοῦ λογισμοῦ κατ' ἀνάγκην δεχθέντες, ὡς ἐκεῖνος (ἐφ' ὅσον δὲν προήρχετο ἀπὸ τὴν θέλησίν των), τὴν συνομιλίαν ὅμως μὲ τὸν λογισμὸν καὶ τὴν ἐν γένει προσπάθειαν συγκαταθέσεως πρὸς αὐτὸν καὶ διαπράξεως τῆς προτεινομένης κακίας ἀποφυγόντες ἐξ ὁλοκλήρου.

---

1) Ἐνταῦθα ὁ ἱερὸς συγγραφεὺς θίγει τὸ πλέον ἀκανθῶδες ζήτημα τῆς ὀρθοδόξου σκέψεως· τὸ ζήτημα τῆς ἠθικῆς σχέσεως τῶν ἀνθρώπων μὲ τὸ προπατορικὸν ἁμάρτημα.

Λίαν εὐστόχως ὁ Ἀββᾶς Μᾶρκος διαστέλλει μεταξὺ οὐσίας τοῦ προπατορικοῦ ἁμαρτήματος καὶ συνεπειῶν αὐτοῦ. Τὸ προπατορικὸν ἁμάρτημα ὑπῆρξεν ἡ ἑκουσία παράβασις τοῦ θελήματος τοῦ Θεοῦ. Καὶ αὐτὸ τὸ ἁμάρτημα, ἡ παράβασις δηλαδή, ὡς συντελεσθὲν «κατὰ θέλημα» τῶν Πρωτοπλάστων, δὲν κληρονομεῖται ὡς ἠθικὴ κατάστασις, διότι συνιστᾷ προσωπικὸν ἁμάρτημα· κληρονομοῦν ὅμως οἱ ἄνθρωποι τὰς ἐκ τοῦ προπατορικοῦ ἁμαρτήματος συνεπείας, ἐν αἷς διακρίνομεν τὴν ῥοπὴν πρὸς ἁμαρτίαν καὶ τὸν θάνατον.

Ποία ὅμως εἶναι ἡ αἰτία τῆς τοιαύτης κληρονομικότητος καὶ ποία ἡ μορφή της, συνιστοῦν σημεῖον ἀντιλεγόμενον. Ἐπ' αὐτοῦ ὁ πρύτανις τῶν συγχρόνων διδασκάλων τῆς Δογματικῆς, ἀείμνηστος καθηγητὴς Χρῆστος Ἀνδροῦτσος (1869—1935) λέγει· «Τὸ καθ' ἡμᾶς ἀντὶ πάσης τοιαύτης ἐξηγήσεως, σκοτιζούσης ἀντὶ νὰ διαφωτίζῃ τὸ δόγμα τῆς κληρονομικῆς ἁμαρτίας, προτιμοτέρα φαίνεται ἡ ἀποδοχὴ αὐτοῦ ἐν πίστει καὶ ἡ ὁμολογία, ὅτι εὑρισκόμεθα πρὸ μυστηρίου, ὑπερβαίνοντος τὴν ἀνθρωπίνην κατάληψιν ..» (Δογματική, σελ. 161—162). «Ἐν πίστει» θεωρῶν τὸ ζήτημα καὶ ὁ ἱερὸς ἡμῶν συγγραφεὺς παρεμβάλλει, σχεδὸν αὐτούσιον, τὸ περιλάλητον χωρίον (Ρωμ. ε' 14), τὸ ὁποῖον καὶ ἡμεῖς ἐκρίναμεν σκόπιμον νὰ παραθέσωμεν ἐπὶ λέξει.

25. Ἡ προσβολὴ λοιπὸν τοῦ σατανᾶ εἶναι μία ἁπλῆ καὶ σύντομος ἐμφάνισις εἰς τὴν διάνοιαν ἡμῶν ἑνὸς πονηροῦ πράγματος· καὶ αὐτὴ ὅμως ἡ ἁπλῆ καὶ φευγαλέα ἐμφάνισις, ἡ προσβολή, προσεγγίζει εἰς τὸν νοῦν ἡμῶν, μόνον ἐξ αἰτίας τῆς ὀλιγοπιστίας ἡμῶν.

Καὶ ἰδοὺ πῶς δημιουργοῦνται αἱ εὐνοϊκαὶ συνθῆκαι διὰ τὴν ἐνέργειαν τῆς καθ' ἡμῶν προσβολῆς τοῦ σατανᾶ. Ὡς γνωστόν, ἔχομεν λάβει ἐντολὴν παρὰ τοῦ Σωτῆρος Χριστοῦ νὰ μὴ μεριμνῶμεν καθόλου (1), ἀλλ' ἀγρύπνως νὰ περιφρουρῶμεν τὴν καρδίαν ἡμῶν καὶ νὰ ἀναζητῶμεν τὴν ἐντὸς ἡμῶν ὑπάρχουσαν Βασιλείαν τῶν οὐρανῶν (2). Ὅταν ὅμως ὁ νοῦς ἡμῶν ἀπομακρυνθῇ ἀπὸ τὴν ἐπιτήρησιν τῆς καρδίας καὶ τὴν ἀναζήτησιν τῆς Βασιλείας τοῦ Θεοῦ, διὰ τὴν ὁποίαν ἀνέφερα προηγουμένως, ἀμέσως δίδεται τόπος εἰς τὸν διάβολον διὰ τὴν προσβολὴν καὶ ὁ νοῦς ἡμῶν γίνεται δεκτικὸς τῆς πονηρᾶς σκέψεως, τὴν ὁποίαν ὑποβάλλει ὁ διάβολος.

26. Ἀλλ' οὔτε ἀκόμη καὶ τότε ὁ διάβολος δύναται κατ' ἐξουσίαν νὰ κινήσῃ τοὺς λογισμοὺς ἡμῶν· ἀλλοίμονον ἐν τοιαύτῃ περιπτώσει εἰς ἡμᾶς, διότι δὲν θὰ μᾶς ἐλυπεῖτο, ἀλλὰ θὰ μᾶς ἐξηνάγκαζε νὰ ἔχωμεν πάντοτε κατὰ νοῦν ὅλας τὰς κακὰς σκέψεις καὶ ἐννοίας καὶ δὲν θὰ μᾶς ἐπέτρεπε νὰ ἐννοήσωμεν τίποτε τὸ ἀγαθόν.

Ἡ μόνη ἐξουσία, τὴν ὁποίαν ἔχει, εὑρίσκεται εἰς τὸ νὰ ὑποδεικνύῃ, ἁπλῶς καὶ ὑπὸ τὸ πρόσχημα ἀθώας ἀφελείας, εἰς τὸν νοῦν ἡμῶν τὰ πονηρὰ πράγματα, διὰ νὰ δοκιμάζῃ πειράζων τὴν ἐσωτερικὴν ἡμῶν διάθεσιν ποῦ ρέπει· πρὸς τὴν ἰδικήν του ὑποβολὴν ἢ πρὸς τὴν ἐντολὴν τοῦ Κυρίου, ἐπειδὴ αἱ δύο αὗται καταστάσεις (ἡ ὑποβολὴ τοῦ κακοῦ ὑπὸ τοῦ διαβόλου καὶ ἡ ἐντολὴ τοῦ Κυρίου) ἀντιμάχονται πάντοτε μεταξύ των.

27. Δι' αὐτὸν τὸν λόγον καὶ ἡμεῖς ἀμέσως ἀνακινοῦμεν τοὺς λογισμοὺς ἡμῶν καὶ τὰς σκέψεις πρὸς τὸ ἀντικείμενον ποὺ μᾶς ὑπέδειξεν ὁ διάβολος, ἐφ' ὅσον βεβαίως ἀναφέρεται εἰς πράγματα, ποὺ ἀγαπῶμεν, ὁπόταν μετ' ἐμπαθείας πλέον σχετιζόμεθα καὶ ἐπικοινωνοῦμεν, κατὰ διάνοιαν, μὲ τὸ ὑποδειχθὲν πρᾶγμα· ἐφ' ὅσον πάλιν τὸ ὑπὸ τοῦ διαβόλου ὑποδεικνυόμενον ἀναφέρεται εἰς πράγματα, ποὺ μισοῦμεν, τότε οὐδ' ἐπὶ στιγμὴν ἀνεχόμεθα τὴν ὑπόδειξιν, ἀλλὰ μάλιστα καὶ αὐτὴν ἀκόμη τὴν προσβολὴν μισοῦμεν· ἐὰν δὲ ἡ προσβολὴ ἐξακολουθῇ νὰ παραμένῃ εἰς τὴν διάνοιαν ἡμῶν, παρὰ τὴν ἀποστροφήν μας, διότι εἶναι δυνατὸν νὰ συμβῇ τοῦτο, τότε αὐτὸ θὰ ὀφείλεται οὐχὶ εἰς τὴν τελευταίαν ψυχικὴν ἡμῶν διάθεσιν, ἀλλ' ἡ τοιαύτη προσβολὴ θὰ ἔχῃ ὀχυρωθῇ εἰς παλαιὰν κατοχὴν τῆς ψυχῆς ὑπὸ παρομοίου λογισμοῦ.

---

1) «Μὴ οὖν μεριμνήσετε λέγοντες τί φάγωμεν ἢ τί πίωμεν ἢ τί περιβαλώμεθα» (Ματθ ϛ' 31).

2) «Ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν» (Λουκ. ιζ' 21). «Ζητεῖτε δὲ πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ» (Ματθ. ϛ' 33).

28. Δι' αὐτὸν δὲ ἀκριβῶς τὸν λόγον καὶ ὁ μισούμενος λογισμὸς παραμένει ἀκίνητος εἰς τὸ σημεῖον τῆς προσβολῆς, χωρὶς δυνατότητα προκοπῆς, ἁπλῆ σκέψις, ἐμποδιζομένη ἀπὸ τὴν ἀηδίαν, τὴν ὁποίαν τρέφει πρὸς αὐτὴν ἡ καρδία, νὰ ἀναπτυχθῇ καὶ νὰ ἐξελιχθῇ εἰς (ἐφάμαρτον) σύμπλεγμα σκέψεων, εἰς πάθος. Καὶ τοῦτο, διότι ἡ ἁπλῆ καὶ φευγαλέα ἐντύπωσις, ἡ ὁποία προκαλεῖται ἀπὸ τὴν ἐμφάνισιν ἑνὸς λογισμοῦ, ὅταν μάλιστα μισηθῇ ὑπὸ τοῦ ἀγρύπνως προσέχοντος τὸν ἑαυτόν του, εἶναι τοιαύτης φύσεως, ὥστε νὰ μὴ δύναται νὰ σύρῃ κάτω τὸν νοῦν καὶ νὰ τὸν ρίψῃ εἰς πάθος καὶ ἐφάμαρτον σύμπλεγμα σκέψεων· εἰς αὐτὴν τὴν κατάπτωσιν μόνον ἡ ἡδυπάθεια τῆς καρδίας δύναται νὰ συντελέσῃ.

29. Ὥστε ἐὰν ἡμεῖς ἀποφύγωμεν τελείως πᾶσαν ἡδυπάθειαν, δὲν θὰ δυνηθῇ νὰ μᾶς βλάψῃ οὔτε καὶ αὐτὴ ἀκόμη ἡ ἁπλόσκεπτος ἐμφάνισις εἰς τὴν διάνοιαν ἡμῶν παλαιῶν παραστάσεων τοῦ νοὸς (ποὺ παραμένουν εἰς κατάστασιν ἐντυπώσεων, ὀφειλομένων εἰς ἀθέλητον ἀνάμνησιν προηγουμένων κακῶν), ἂν καὶ ἡ τοιαύτη διακίνησις τῶν σκέψεων ἐν τῇ διανοίᾳ κατακρίνῃ τὴν συνείδησιν καθ' ὅσον ἀφορᾷ τὴν ἀσφάλειαν τῶν μελλόντων (ἀγαθῶν) (1).

30. Μόλις ὅμως ὁ νοῦς ἀντιληφθῇ τὴν ματαίαν ἀντιλογίαν ἐν ἑαυτῷ ἐκ τῆς ἀθελήτου ἐνθυμήσεως προηγουμένης κακῆς σκέψεως ἢ πράξεως καὶ σπεύσῃ ἀμέσως νὰ ἐξομολογηθῇ εἰς τὸν Θεὸν αὐτὴν τὴν παλαιὰν ἁμαρτίαν, πάραυτα ἐκμηδενίζεται καὶ αὐτὸς ὁ πειρασμός, καὶ ἀνακτᾷ πάλιν ὁ νοῦς τὴν δύναμιν νὰ παρατηρῇ τὴν καρδίαν, καί, διὰ τῆς προσευχῆς, ἀγρύπνως νὰ φρουρῇ αὐτὴν προσπαθῶν μάλιστα νὰ εἰσέλθῃ εἰς τὸ βαθύτερα καὶ πλέον ἄδυτα σημεῖα αὐτῆς.

31. Ἐκεῖ δὲν πνέουν ἄνεμοι τῶν πονηρῶν λογισμῶν ἐξωθοῦντες μετὰ βιαιότητος ψυχὴν καὶ σῶμα εἰς τοὺς κρημνοὺς τῆς ἡδυπαθείας, οὔτε διανοίγεται καμμία πλατεῖα καὶ εὐρύχωρος ὁδὸς κατεστρωμένη ἀπὸ λόγους καὶ σχήματα κοσμικῆς σοφίας, καὶ δελεάζουσα αὐτούς, ποὺ τὴν ἀκολουθοῦν, ἔστω καὶ ἐὰν εἶναι συνετοὶ καὶ προσεκτικοί· διότι τὰ καθαρὰ καὶ βαθύτερα ταμιεῖα τῆς ψυχῆς καὶ ὁ (ἐν αὐτοῖς) οἶκος τοῦ Χριστοῦ, ἐντὸς τοῦ ὁποίου, χάριν ἡμῶν, εἰσῆλθε διὰ τοῦ ἁγίου Βαπτίσματος ὁ Χριστός, ὡς πρόδρομος (τῆς σωτηρίας ἡμῶν), δέχονται μέσα μόνον γυμνὸν νοῦν, ποὺ δὲν φέρει μαζί του τίποτε ἀπὸ τὰ στοιχεῖα τοῦ αἰῶνος τούτου, εἴτε εὔλογον εἴτε ἄλογον, ἐκτὸς ἀπὸ τὰ τρία λαμπρὰ μόνον, ποὺ ἀναφέρει ὁ Ἀπόστολος· πίστιν, ἐλπίδα καὶ ἀγάπην· «Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη» (Α' Κορ. ιγ' 13).

32. Εἶναι λοιπὸν δυνατὸν ἕνας ὁ ὁποῖος εἶναι φίλος τῆς ἀλη-

---

1) Ἡ συνείδησις, δηλαδή, ἐλέγχεται ἐκ τῶν τοιούτων σκέψεων καὶ τῆς παρουσίας παλαιῶν ἐντυπώσεων καὶ φοβεῖται μήπως αὗται, ἐξελισσόμεναι εἰς ἐπίμονα πάθη, ἀποσπάσουν τὴν ψυχὴν ἀπὸ τὰ μέλλοντα.

θείας καὶ ἐπιθυμεῖ νὰ ἁγιάζῃ (καὶ νὰ ἐπαναπαύῃ) τὴν καρδίαν του, νὰ μὴ ἐνοχλῆται ἀπὸ τὴν ἀνάμνησιν τῶν προτέρων κακῶν (καὶ νὰ μὴ ἐξωθῆται εἰς ἀπρεπεῖς λογισμούς), ἀλλὰ νὰ ἐπαγρυπνῇ ἐπὶ τῶν κινήσεων τῆς καρδίας, νὰ προσέχῃ, νὰ ἐπιδιώκῃ περισσοτέραν ἐπαγρύπνησιν εἰς τὰς κινήσεις αὐτῆς καὶ νὰ προσεγγίζῃ τὸν Θεόν, διὰ νὰ μὴ δοκιμάζῃ ἀποστροφὴν καὶ βδελυγμίαν ἐκ τῶν κόπων, ποὺ καταβάλλει, προκειμένου νὰ ἐπιτύχῃ περισσοτέραν ἔντασιν προσοχῆς καὶ νὰ παραμένῃ (διαρκῶς εἰς τὴν κατάστασιν τῆς πνευματικῆς περισυλλογῆς)· διότι ὁ μετὰ προσοχῆς ἐλέγχων τὰς κινήσεις τῆς καρδίας δὲν δύναται νὰ μὴ δοκιμάζῃ πόνον εἰς τὴν καρδίαν του, ὅταν καθημερινῶς ἀναστρέφῃ μέσα εἰς τὴν σκέψιν του ἀναμνήσεις ὑπερηφάνων ἐπιδείξεων καὶ σαρκικῶν ἀπολαύσεων, αἱ ὁποῖαι ὑποβάλλονται εἰς αὐτὸν ὄχι μόνον ἐκ τῶν ἔξω, ἀλλὰ καὶ ἐσωτερικῶς, ὡς ἐνθυμήσεις, εἰς τὴν ψυχήν του, μὲ τὰς ὁποίας πολλὰς φορὰς ὄχι μόνον διὰ τῆς σκέψεως, ἀλλὰ καὶ ἐμπράκτως συνανεστράφη.

Ἐρώτησις

33. Διατὶ λοιπὸν ἐγώ, ποὺ ἔχω βαπτισθῆ εἰς τὸ ὄνομα τοῦ Κυρίου, καὶ παρακαλῶ τὸν Θεὸν καὶ ἐπιζητῶ τὴν Χάριν Του, καὶ θέλω, μὲ ὅλην μου τὴν θέλησιν, νὰ ῥυσθῶ καὶ νὰ ἀπαλλαγῶ ἀπὸ τοὺς πονηροὺς λογισμούς, δὲν δύναμαι; Καθ᾿ ὅσον μάλιστα ὁ Κύριος ὑπεσχέθη ῥητῶς, ὡς ἀναφέρεται εἰς τὰ ἅγια Εὐαγγέλια, ὅτι θὰ βοηθήσῃ ἐκείνους ποὺ ἡμέραν καὶ νύκτα βοοῦν πρὸς Αὐτὸν ἐπικαλούμενοι τὸ ἔλεος Του (1);

Ἀπόκρισις

34. Ὁ Κύριος λέγει, ὅτι θὰ βοηθήσῃ ὄχι ἐκείνους, ποὺ μὲ τὴν θέλησίν των παραμένουν εἰς τὰς ἡδυπαθείας, ἀλλὰ αὐτούς, ποὺ πολεμοῦνται ἀπὸ μόνας τὰς ἀθελήτους ἀναμνήσεις τῶν προτέρων των κακῶν· δι᾿ αὐτὸ καὶ εἰς αὐτοὺς μέν, τοὺς πολεμουμένους δηλαδὴ ἀπὸ μόνας τὰς ἀθελήτους ἀναμνήσεις τῶν προτέρων των κακῶν, ὑπεσχέθη νὰ τοὺς ὑπερασπίσῃ, ὡς ἀδικουμένους ὑπὸ ἐχθρῶν· ἐνῷ, ἀντιθέτως, ἐκείνους, ποὺ παραμένουν εἰς τὰς ἡδυπαθείας, ἐπειδὴ ἀποκρούουν τὴν ἐντολήν Του, τοὺς κατηγορεῖ λέγων· «Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾿ ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς» (Ματθ. ζ΄ 21)· ἐν συνεχείᾳ δὲ αὐτοὺς τοὺς παρομοιάζει μὲ ἀπερίσκεπτον ἄνθρωπον, ποὺ ἔκτισε τὴν οἰκίαν του ἐπάνω εἰς τὴν ἄμμον τῶν ἰδίων του θελημάτων. (**αὐτ. 26**).

35. Μάθε λοιπὸν ἐπακριβῶς, ὦ ἄνθρωπε, ὅτι ὁ Κύριος ἐπιβλέπει τὰς καρδίας ὅλων τῶν ἀνθρώπων· καὶ ἐκείνους μὲν ποὺ μισοῦν ἀμέσως τὴν πρώτην σκέψιν, ποὺ τοὺς ἐμπνέουν αἱ πονηραὶ ἐνθυμήσεις,

---

1) «Ὁ δὲ Θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός» ; (Λουκ. ιη΄ 7).

τοὺς περιβάλλει, χωρὶς ἀναβολήν, μὲ τὴν προστασίαν Του, ἐκδικούμενος τοὺς νοερούς των ἐχθροὺς (τοὺς λογισμούς), ὅπως ὑπεσχέθη, καὶ δὲν ἀφήνει νὰ ἐπαναστατήση τὸ σμῆνος πολλῶν φιληδόνων καὶ ἐφαμάρτων σκέψεων, διὰ νὰ μολύνῃ τὸν νοῦν καὶ τὴν συνείδησίν των.

36. Τοὺς ἄλλους πάλιν, ποὺ δὲν ἐγκαταλείπουν ἀμέσως, μὲ πίστιν καὶ ἐλπίδα πρὸς τὸν Θεόν, τοὺς πρώτους ὑπόπτους ψιθύρους καὶ τὰς πρώτας ἀμφιβόλους ἐμπνεύσεις, ἀλλά, ὑπὸ τὸ πρόσχημα δῆθεν τῆς ἐξακριβώσεως καὶ δοκιμασίας τῶν σκέψεων καὶ λογισμῶν, ἀποκλίνοντας πρὸς μίαν συγκεκαλυμμένην ἡδυπάθειαν, ἐγκαταλείπει ὁ Θεὸς ὡς ἀπίστους καὶ ὡς φρονοῦντας ἐσφαλμένως, ὅτι ἠμποροῦν μόνοι των νὰ αὐτοβοηθηθῶσι, τοὺς ἐγκαταλείπει, λέγω, νὰ κτυπηθοῦν ἀπὸ τοὺς ἀκολουθοῦντας λογισμούς· αὐτοὺς δὲ τοὺς ἀκολουθοῦντας καὶ ἐπερχομένους λογισμοὺς ὁ Θεὸς δὲν ἐξαφανίζει σκοπίμως, ἐπειδὴ βλέπει, ὅτι ἀγαπῶμεν τὴν προσβολήν των καὶ δὲν σπεύδομεν νὰ τὴν μισήσωμεν ἀπὸ τὴν πρώτην ἐμφάνισιν. Ἐὰν δὲ κανεὶς ἀμφιβάλλῃ εἰς τὰ λεγόμενά μου, ἄς δοκιμάσῃ ἐμπράκτως νὰ διαπιστώσῃ τὴν ἀλήθειαν.

37. Νὰ μὴ ἀδιαφορήσῃς ποτέ, ἀπὸ ἀμέλειαν, διὰ τοὺς λογισμούς, διότι οὐδεμία σκέψις σου διαφεύγει τὴν προσοχὴν τοῦ Θεοῦ. Ὁ ἐχθρὸς τοῦ πνευματικοῦ νόμου γνωρίζει πολὺ καλῶς τὸ δίκαιον καὶ ἐπιζητεῖ μόνον τὴν συγκατάθεσιν τοῦ νοὸς τοῦ ἀνθρώπου· διότι τοιουτοτρόπως ἐνεργῶν ἢ θὰ τὸν καταστήσῃ ὑπεύθυνον καὶ θὰ τὸν κάμῃ νὰ πονέσῃ διὰ τῶν κόπων τῆς μετανοίας, ἤ, ἐφ' ὅσον δὲν μετανοεῖ, θὰ τὸν κάμῃ νὰ πονέσῃ ἐπιφέρων κατ' αὐτοῦ ἀθέλητα κτυπήματα. Κάποτε μάλιστα εἶναι ἐνδεχόμενον νὰ ἐμπνεύσῃ εἰς τὸν ἄνθρωπον πνεῦμα γογγυσμοῦ καὶ ἀντιδράσεως κατὰ τῶν ἀθελήτων αὐτῶν ἐπιφορῶν, ὥστε καὶ κατὰ τὴν παροῦσαν ζωὴν νὰ πολλαπλασιάσῃ τὸν πόνον καὶ τὴν ὀδύνην, ἀλλὰ καὶ κατὰ τὴν ἔξοδον τοῦ ἀνθρώπου ἐκ τοῦ κόσμου τούτου νὰ τὸν ἀποδείξῃ ἄπιστον διὰ τὴν ἀνυπομονησίαν του (1).

38. Ὅπως ἀκριβῶς ὁ Θεὸς προσφέρει εἰς ἕκαστον ἄνθρωπον αὐτὸ ποὺ ἁρμόζει εἰς τὴν φύσιν του, τοιουτοτρόπως ἐνεργεῖ καὶ εἰς τοὺς ἀνθρωπίνους λογισμούς, εἴτε θέλομεν, εἴτε δὲν θέλομεν. Ὅταν ἁμαρτήσῃς, νὰ μὴ κατηγορῇς τὴν πρᾶξιν, ἀλλὰ τὴν σκέψιν· διότι, ἐὰν ὁ νοῦς δὲν προέτρεχε, δὲν θὰ ἦτο δυνατὸν νὰ ἀκολουθήσῃ τὸ σῶμα (2). Κάθε σκέψις ἔχει μέτρον καὶ ζύγι, διὰ νὰ ἐκτιμηθῇ ἀναλόγως·

---

1) Ἡ ἀναπτυσσομένη ἐδῶ θέσις εἶναι ἡ ἑξῆς: «Ὁ ἐχθρὸς τοῦ πνευματικοῦ νόμου», ὁ διάβολος, δὲν παραβιάζει τὸ αὐτεξούσιον. Ἐνεργεῖ κατὰ τοῦ ἀνθρώπου, ὅταν ἐλευθέρως συγκατατεθῇ ὁ ἄνθρωπος. Ἐν συνεχείᾳ βασανίζει τὸν ἄνθρωπον, ἐφ' ὅσον οὗτος δὲν ὑποβάλλεται εἰς τοὺς κόπους τῆς μετανοίας, μὲ ἀθέλητα κτυπήματα (ἀσθενείας κ.λ.π.). Διὰ νὰ πολλαπλασιάσῃ δὲ τὸν ἐκ τούτων πόνον, τοῦ ἐμπνέει σκέψεις γογγυσμοῦ, ὥστε, εἰς τὸ τέλος, νὰ χάσῃ καὶ τὴν ψυχήν του ἀπὸ τὴν ἀνυπομονησίαν.

2) Πολὺ ὀρθῶς τὸ αἴτιον τῆς ἁμαρτίας τοποθετεῖται εἰς τὴν κίνησιν τοῦ νοὸς καὶ οὐχὶ εἰς τὰς ἐξ ἀντικειμένου ὑλικὰς συνθήκας. Πρῶτον θὰ σκεφθῶ τὴν

διότι εἶναι δυνατὸν τὸ ἴδιον πρᾶγμα νὰ τὸ σκεφθῇ κανεὶς ἢ μὲ ἐμπάθειαν ἢ μὲ ἁπλότητα.

39. Ὅταν βγάλωμεν ἀπὸ τὴν διάνοιαν ἡμῶν πᾶσαν θεληματικὴν κακίαν, τότε θὰ εἶναι δυνατὸν νὰ πολεμήσωμεν ἐναντίον τῶν παθῶν, ποὺ καταλαμβάνουν ἡμᾶς ἀπὸ πρόληψιν.

40. Πρόληψις δὲ εἶναι ἡ ἀθέλητος ἐνθύμησις τῶν προηγουμένων κακῶν, ποὺ ἐπετελέσαμεν. Αὐτὴ ἡ πρόληψις ἀπὸ μὲν τὸν ἀγωνιστὴν ἐμποδίζεται νὰ ἀποβῇ εἰς πάθος· ἀπὸ δὲ τὸν νικητὴν ἀνατρέπεται καὶ ὡς ἁπλῆ προσβολὴ ἀκόμη.

41. Προσβολὴ εἶναι μία κίνησις τῆς καρδίας ἀκαθορίστου μορφῆς, ἕνας ἀβέβαιος ὑπαινιγμὸς τῆς καρδίας· αὐτὴν τὴν προσβολὴν εἶναι δυνατὸν ἐκ τῶν προτέρων νὰ καταλάβουν οἱ ἔμπειροι καὶ νὰ τὴν ἐκμηδενίσουν (ὅπως ἀκριβῶς οἱ στρατιῶται ἐλέγχουν μίαν στενὴν διάβασιν καὶ ἐμποδίζουν νὰ περάσουν ἀπ' ἐκεῖ ὕποπτα ἢ ἐχθρικὰ πρόσωπα). Ὅπου οἱ λογισμοὶ ἐμφανίζουν εἰς τὴν ψυχὴν νοερὰς εἰκόνας, ἐκεῖ συνέβη πλέον συγκατάθεσις τοῦ νοὸς πρὸς τοὺς λογισμούς, διότι ἡ προσβολή, ὅταν δὲν γίνεται αἰτία ἁμαρτωλῶν σκέψεων ἢ πράξεων (καὶ αὐτὸ πρέπει νὰ τὸ θέλῃ ὁ ἄνθρωπος), παραμένει μία ἀκαθόριστος κίνησις τῆς καρδίας, χωρὶς συγκεκριμένην μορφήν.

Ὁ ἄνθρωπος ποὺ διαφεύγει ἀπὸ αὐτοὺς τοὺς ματαιόφρονας λογισμούς, εἶναι ὅπως ὁ δαυλὸς τὸν ὁποῖον ἀπομακρύνουν ἀπὸ τὴν φωτιὰ διὰ νὰ μὴ καῇ, ἐνῷ ἐκεῖνος ποὺ δὲν ἀποσπᾶται ἀπὸ αὐτὰς τὰς σκέψεις, ὁμοιάζει μὲ τὸ ξύλον ποὺ μένει εἰς τὴν φωτιὰν καὶ καίεται.

42. Νὰ μὴ λέγῃς, ὅτι δὲν θέλω καὶ ὅμως ἔρχεται εἰς ἐμέ· πάντως καὶ ἂν ἀκόμη δὲν ἀγαπᾷς τὰς ἐνοχλητικὰς αὐτὰς σκέψεις, τοὺς κακοὺς λογισμούς, ἀγαπᾷς ὅμως ὁπωσδήποτε τὰς αἰτίας ἢ τὸ ἀντικείμενον, ποὺ ἐγέννησαν τὰς σκέψεις αὐτάς.

Ἐκεῖνος ποὺ παρασύρεται ἀπὸ τοὺς λογισμούς, τυφλώνεται ἀπὸ αὐτούς, ὥστε ἀντιλαμβάνεται μὲν τὴν ἐνέργειαν τῶν λογισμῶν, δὲν δύναται ὅμως πλέον νὰ ἴδῃ τὰς αἰτίας, ποὺ τοὺς προκαλοῦν.

43. Ὅταν ὁ νοῦς ἀποσπασθῇ ἀπὸ τὰς σωματικὰς φροντίδας καὶ εὑρεθῇ ἔξω τοῦ κύκλου αὐτῶν, τότε βλέπει, ἀναλόγως τοῦ μέτρου τῆς ἀπομακρύνσεώς του ἐκ τῶν σωματικῶν μεριμνῶν, τὰς πανούργους παγίδας τῶν ἐχθρῶν.

44. Ὑπάρχει κακία, ἡ ὁποία κατέχει τὴν καρδίαν, λόγῳ μακροχρονίου ἐπενεργείας της ἐπὶ τοῦ νοός· καὶ ὑπάρχει κακία, ἡ ὁποία διὰ τῶν λογισμῶν πολεμεῖ, ἐξ ἀφορμῆς τῶν καθημερινῶν πραγμάτων (1).

κλοπήν, καὶ μετὰ θὰ κλέψω. Ἡ κλοπή, ὡς σκέψις, εἶναι ἡ αἰτία τῆς ἁμαρτίας καὶ οὐχὶ ἡ κλοπὴ ὡς πρᾶξις.

1) Ἐξ αὐτῶν ἡ πλέον ἐπικίνδυνος εἶναι ἡ χρονίσασα κακία, διότι κατέστη συνήθεια καὶ δυσαπόβλητος ἕξις· ἡ δευτέρα κακία, ἐντελῶς συμπτωματική, ἀντιπολεμεῖται διὰ τῆς ἐπιτυχοῦς ἀποκρούσεως τῶν λογισμῶν.

Ἐὰν πλέον δὲν ἐκτελῶμεν τὰ θελήματα τῆς σαρκός, ὅπως μᾶς συμβουλεύει ἡ Ἁγία Γραφή (1), εὐκόλως τότε, μὲ τὴν δύναμιν τοῦ Κυρίου, θὰ σταματήσουν σιγὰ—σιγὰ καὶ αἱ ἐνέργειαι ὅλων τῶν κακῶν ποὺ προϋπάρχουν εἰς τὴν ψυχήν μας.

45. Ὅπως ἀκριβῶς τὸ μικρὸν μοσχάρι, ἀναζητοῦν τρυφερὸν χόρτον διὰ νὰ βοσκήσῃ, ἀπεμακρύνθη ἀπὸ τὸ κοπάδι καὶ φθάνει, χωρὶς νὰ τὸ ἀντιληφθῇ, εἰς ἀπόκρημνον καὶ ἐπικίνδυνον τόπον, τὸ ἴδιον παθαίνει καὶ ἡ ψυχή, ἡ ὁποία, ὀλίγον κατ᾽ ὀλίγον, δελεάζεται ἀπὸ τοὺς ἐπιβλαβεῖς λογισμούς.

46. Ὅταν ὁ νοῦς ἀνδρειωθῇ, μὲ τὴν δύναμιν τοῦ Κυρίου, καὶ ἀποσπάσῃ τὴν ψυχὴν ἀπὸ τὴν καταθλιπτικὴν καὶ ἀθέλητον ἐνθύμησιν προηγουμένων κακῶν, ποὺ συνθέτουν πλέον μίαν ἐνοχλητικὴν καὶ κουραστικὴν καθημερινότητα, τότε ἡ καρδία ταλαιπωρεῖται ἀπὸ τὸ πάθος καὶ ἀπὸ τὸν νοῦν, οἱ ὁποῖοι ὡς σκληροὶ δήμιοι τὴν τραβοῦν ἀπ᾽ ἐδῶ καὶ ἀπ᾽ ἐκεῖ (2).

47. Τῶν λογισμῶν, ποὺ χωρὶς νὰ τὸ θέλωμεν, μᾶς ἐνοχλοῦν, ἀγαπῶμεν τὰς γενεσιουργοὺς αἰτίας, δι᾽ αὐτὸ καὶ ἐπέρχονται εἰς τὴν σκέψιν μας (3)· τῶν δὲ λογισμῶν, ποὺ μὲ τὴν θέλησίν μας ἐμφανίζονται εἰς τὸν νοῦν ἡμῶν, ἀσφαλῶς ἀγαπῶμεν καὶ αὐτὰ καθ᾽ ἑαυτὰ τὰ πράγματα, ποὺ μᾶς ὑποβάλλουν (4).

Ἐὰν κάθε ἀθέλητον συμβὰν ἔχῃ τὴν αἰτίαν τῆς ὑποστάσεώς του εἰς τὰ κατὰ θέλησιν, τότε, κατὰ τὴν Ἁγίαν Γραφήν, κανεὶς δὲν εἶναι τόσον ἐπικίνδυνος ἐχθρὸς τοῦ ἀνθρώπου, ὅσον ὁ ἴδιος ὁ ἑαυτός του, ὅστις θεληματικῶς μὲν σχηματίζει καὶ δέχεται τὸν λογισμόν, χωρὶς τὴν θέλησίν του ὅμως παρασύρεται ἀπὸ αὐτόν.

48. Τρεῖς εἶναι αἱ νοεραὶ καταστάσεις εἰς τὰς ὁποίας ὁ νοῦς δύναται νὰ εἰσέλθῃ, μεταβαλλόμενος ἑκάστοτε κατὰ τὸ περιεχόμενόν του εἰς ἐννοίας· ἡ κατὰ φύσιν, ἡ ὑπὲρ φύσιν καὶ ἡ παρὰ φύσιν. Ὅταν ἔλθῃ εἰς τὴν κατὰ φύσιν, εὑρίσκει τὸν ἑαυτόν του αἴτιον τῶν πονηρῶν λογισμῶν, ἐξομολογεῖται εἰς τὸν Θεὸν τὰς ἁμαρτίας καὶ γνωρίζει ἐπακριβῶς τὰς αἰτίας τῶν παθῶν· ὅταν μετατοπισθῇ εἰς τὴν παρὰ φύσιν κατάστασιν, τότε λησμονεῖ τὴν δικαιοσύνην τοῦ Θεοῦ καὶ φιλονικεῖ μὲ τοὺς ἀνθρώπους, διότι δῆθεν τὸν ἀδικοῦν· ὅταν, τέλος, ἀνυψωθῇ εἰς τὴν ὑπὲρ φύσιν κατάστασιν, τότε συναντᾷ τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος, τοὺς ὁποίους ἀπηρίθμησεν ὁ Ἀπόστολος Παῦλος, δηλαδὴ

1) «Ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν....» (Ἐφεσ. β´ 3).

2) Ἡ καρδία δηλαδὴ ἕλκεται ἐκ δύο ἀντιθέτων δυνάμεων· τοῦ νικητοῦ νοῦ, πρὸς τὰ ἄνω, καὶ τοῦ νικηθέντος πάθους πρὸς τὰ κάτω.

3) Οἱ ἀθέλητοι λογισμοὶ πιθανὸν νὰ ὀφείλωνται εἰς προσφιλεῖς ἀφορμάς· π.χ. ἡ ἀγάπη μου πρὸς τὴν δημοσιότητα γεννᾷ ἐν ἐμοὶ λογισμοὺς κενοδοξίας.

4) Οἱ κατὰ θέλησιν λογισμοὶ ἐπισυμβαίνουν, διότι ἀγαπῶ τὸ ὑπ᾽ αὐτῶν ὑποδεικνυόμενον, ὡς λ.χ. ἡ εὐχάριστος καὶ φιλήδονος ἐνασχόλησις περί τι πρόσωπον.

ἀγάπην, χαράν, εἰρήνην, μακροθυμίαν, χρηστότητα, ἀγαθωσύνην, πίστιν, πραότητα, ἐγκράτειαν (1).

49. Ὁ ἄνθρωπος, ὁ ὁποῖος ἔφθασεν εἰς τὴν ὑπὲρ φύσιν κατάστασιν, γνωρίζει καλῶς, ὅτι ἐὰν προτιμήσῃ τὰς μερίμνας τοῦ σώματος, δὲν θὰ εἶναι δυνατὸν νὰ παραμείνῃ εἰς τὴν ὑπὲρ φύσιν κατάστασιν. Ἐπίσης ὁ νοῦς γνωρίζει, ὅτι ἐφ᾽ ὅσον ἐκπέσῃ ἀπὸ ἐκείνην τὴν ὑπὲρ φύσιν κατάστασιν, πλησιάζει τὴν ἐπικίνδυνον περιοχὴν καὶ τέλος πίπτει εἰς αὐτὴν ταύτην τὴν ἁμαρτίαν, καὶ εἰς τὰς φοβερὰς συνεπείας, ποὺ ἀκολουθοῦν τὴν ἁμαρτίαν, ἂν ὄχι ἀμέσως, πάντως εἰς κατάλληλον εὐκαιρίαν, ὅπως γνωρίζει ἡ ἀλάνθαστος δικαιοσύνη τοῦ Θεοῦ.

50. Καὶ ὅταν ἀκόμη, παρὰ τὴν θέλησίν μας, ἐνοχλούμεθα ἀπὸ πονηροὺς λογισμούς, κανένα ἄλλον ἂς μὴ θεωροῦμεν ὡς αἴτιον· διότι ρίζαι τῶν λογισμῶν εἶναι αἱ φαναραὶ κακίαι, τὰς ὁποίας διαπράττομεν ἑκάστοτε διὰ τῶν χειρῶν, τῶν ποδῶν, τοῦ στόματος κ.λ.π. Δὲν εἶναι ποτὲ δυνατὸν ἕνας ἄνθρωπος νὰ ἐνοχλῆται κατὰ διάνοιαν ἀπὸ κάποιο πάθος, ἐὰν δὲν ἀγαπᾷ τὰς αἰτίας ποὺ τὸ προκαλοῦν.

51. Ἐκεῖνος, ἐπὶ παραδείγματι, ποὺ κατεφρόνησε τὴν αἰσχύνην, εἶναι δυνατὸν νὰ ἐπιδιώκῃ τὴν κενοδοξίαν; ἢ ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν ἐξουθένωσιν, τὸν ἐξευτελισμὸν τοῦ ἑαυτοῦ του, εἶναι δυνατὸν νὰ ἐνοχληθῇ, ὅταν δὲν τὸν τιμοῦν οἱ ἄνθρωποι; Ποῖος, ὅταν ἔχῃ «καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην» (2), εἶναι ποτὲ δυνατὸν νὰ συγκινηθῇ ἀπὸ σαρκικὴν ἡδονήν; Ἤ, τέλος, ποῖος τρέφων ἀπόλυτον καὶ εἰλικρινῆ πίστιν εἰς τὸν Χριστόν, φροντίζει διὰ τὰ πρόσκαιρα καὶ φιλονικεῖ μὲ τοὺς συνανθρώπους του δι᾽ αὐτά;

52. Ὅταν ὁ ἄνθρωπος ἐνθυμῆται τὰς παλαιὰς ἐξωμολογημένας ἁμαρτίας του ἁπλῶς μόνον καὶ ἄνευ τοῦ στοιχείου τῆς μετανοίας, μετριάζει ἐν ἑαυτῷ τὴν ἐλπίδα τῆς σωτηρίας του· ὅταν ὅμως, ἀντὶ νὰ αἰσθάνεται λύπην δι᾽ αὐτάς, τοὐναντίον ζωογονήσῃ τὴν ἐνθύμησιν τῶν παλαιῶν αὐτῶν ἁμαρτιῶν διὰ τῶν ἀναλόγων εἰκόνων καὶ παραστάσεων, τότε ἐναποθέτει πάλιν εἰς τὴν ψυχήν του τὸν παλαιὸν μολυσμόν (3). Ὅταν ὁ νοῦς ἀρνηθῇ τὸν ἑαυτόν του καὶ παύσῃ νὰ ἐνθυμῆται τὸ ἐφάμαρτον παρελθόν, διατηρεῖ δὲ τὴν ἁπλῆν μόνον καὶ ὡραίαν ἐλπίδα τῆς σωτηρίας τῆς ψυχῆς του, χάρις εἰς τὴν μετάνοιαν καὶ τὴν

---

1) «Ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος» (Γαλατ. ε΄ 22—23).

2) «Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει» (Ψαλμ. ν΄ 19).

3) Ἡ ἁπλῆ ἀνάμνησις τῆς ἁμαρτίας εἶναι ἐφάμαρτος, ἐφ᾽ ὅσον αὕτη ἔχει ἐξομολογηθῆ, διαφέρει ὅμως ἀπὸ τὴν ἀναπαράστασιν· εἰς τὴν πρώτην περίπτωσιν ἐνυπάρχει τὸ στοιχεῖον τῆς δυσπιστίας διὰ τὴν ἄφεσιν τοῦ ἁμαρτήματος ἢ ὁ κίνδυνος ἀναζωπυρώσεως τοῦ πάθους, εἰς τὴν δευτέραν περίπτωσιν ὑπάρχει τὸ στοιχεῖον τοῦ ἡδονισμοῦ ἢ τοὐλάχιστον τῆς φιληδόνου διαθέσεως τῆς ψυχῆς.

ἐξομολόγησιν, τὴν ὁποίαν ἔχει ἤδη κάμει, τότε ὁ ἐχθρὸς τοῦ ἀνθρώπου (ὁ διάβολος) ὑπὸ τὴν πρόφασιν, δῆθεν, ἐπαναλήψεως τῆς ἐξομολογήσεως, ἐπαναφέρει πάλιν εἰς αὐτὸν τὰς εἰκόνας τῶν περασμένων ἁμαρτιῶν, διὰ νὰ ξαναζωντανεύσῃ ἐκ νέου τὰ λησμονηθέντα καὶ συγχωρηθέντα, μὲ τὴν Χάριν τοῦ Θεοῦ, πάθη καὶ τοιουτοτρόπως, χωρὶς νὰ καταστῇ ἀντιληπτὸς ὁ σκοπός του, νὰ ἀδικήσῃ τὸν ἄνθρωπον.

53. Διότι τότε ὁ νοῦς, ἔστω καὶ ἂν εἶναι λαμπρὸς καὶ μισῇ τὰ πάθη, κατ' ἀνάγκην θὰ σκοτισθῇ καὶ θὰ ταραχθῇ ἐξ ἀφορμῆς τῶν ὅσων ἔχει διαπράξει κατὰ τὸ παρελθόν· ἂν πάλιν εἶναι ἀκόμη συννεφιασμένος καὶ αἰσθάνεται μίαν ἀσθενῆ ἀγάπην πρὸς τὴν ἡδονήν, ὁπωσδήποτε θὰ ἐπιταχύνῃ τὴν πρὸς τὸ κακὸν ῥοπὴν καὶ θὰ δεχθῇ μὲ ἐμπάθειαν τὰς προσβολάς. Καὶ εἰς τὰς δύο πάντως περιπτώσεις ἡ τοιαύτη ἐνθύμησις καὶ ἐξομολόγησις(1) παρέχει μίαν ἀφορμὴν ἀσκόπου καὶ ἐπικινδύνου ἀνακινήσεως, ἐν τῇ διανοίᾳ, τῶν προγενεστέρων κακῶν.

6. Εἶπε Γέρων· θαῦμα πῶς τὰς μὲν εὐχὰς εὐχόμεθα ὡς καὶ παρόντος τοῦ Θεοῦ, καὶ ἀκούοντος ἃ λέγομεν, τὰς δὲ ἁμαρτίας οὕτως ἀδεῶς πράττομεν, ὡς Αὐτοῦ ἀπόντος, καὶ μὴ βλέποντος ἡμᾶς καὶ τὰ ἡμέτερα.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶπεν· ἐάν, ὅταν κοιμᾶσαι, ὅταν ξυπνᾷς, ὅταν κάμῃς ὅ,τι δήποτε πρᾶγμα, ἔχῃς πρὸ ὀφθαλμῶν σου διαρκῶς τὸν Θεόν, ποτὲ δὲν θὰ δυνηθῇ νὰ σὲ φοβίσῃ ὁ ἐχθρός· διότι ἐφ' ὅσον ἡ σκέψις αὐτὴ παραμένει εἰς τὴν ψυχήν σου, τότε καὶ ἡ δύναμις τοῦ Θεοῦ θὰ παραμείνῃ μαζί σου.

2. Ἕνας Γέρων εἶπεν· ὑπάρχουν δύο λησμοσύναι ἀντίθετοι μεταξύ των· ἡ μία εἶναι ἐκείνη ποὺ χαρακτηρίζει τὸν ἄνθρωπον, ὅστις ἐξέχασε νὰ φάγῃ τὸν ἄρτον του ἀπὸ τὴν ἐπίπονον φωνὴν τοῦ πρὸς τὸν Θεὸν στεναγμοῦ του(1)· αὐτὸς ὁ ἄνθρωπος δὲν διατρέχει τὸν κίνδυνον νὰ καταληφθῇ ἀπὸ τὴν ἄλλην λησμοσύνην, ποὺ ἐμπνέει ὁ ἐχθρὸς εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου.

3. Κάποτε ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Κρόνιον:

—Τί νὰ κάμω, Πάτερ μου, διὰ νὰ ἀντιμετωπίσω τὴν λησμοσύνην, ποὺ αἰχμαλωτίζει τὸν νοῦν μου καὶ δὲν μὲ ἀφήνει νὰ αἰσθάνωμαι τὴν παρουσίαν τοῦ Θεοῦ, μέχρις ὅτου μὲ παρασύρει μέχρι σχεδὸν καὶ αὐτῆς τῆς ἁμαρτίας;

4. Ὁ Ἀββᾶς Κρόνιος ἀπήντησεν:


—Ὅταν οἱ ἐχθροὶ ἔλαβαν, ὡς πολεμικὸν λάφυρον, τὴν Κιβωτὸν τῆς Διαθήκης, ἐξ αἰτίας τῶν κακῶν πράξεων τῶν Ἰσραηλιτῶν, τὴν ἔφεραν εἰς τὸν ναὸν τοῦ Θεοῦ των Δαγών· ἀμέσως τότε τὸ ἄγαλμα τοῦ Θεοῦ Δαγὼν ἔπεσεν εἰς τὴν γῆν καὶ συνετρίβη (2).

---

1) «Καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου· ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου» (Ψαλμ. ρα' 5—6).

2) «Καὶ ἔλαβον ἀλλόφυλλοι τὴν Κιβωτὸν Κυρίου καὶ εἰσήνεγκαν αὐτὴν

Ὁ ὍΣΙΟΣ ἈΒΒΑ͂Σ
ΚΡΟΝΙΟΣ



5. Μὲ περιέργειαν ὁ ἀδελφὸς ἐρωτᾷ ἐκ δευτέρου:

—Τί σημαίνει, Πάτερ μου, αὐτὸ ποὺ μοῦ ἐξιστόρησες;

—Αὐτό, τέκνον μου—ἀπήντησεν ὁ Γέρων—φανερώνει τὸ ἑξῆς: ἐὰν οἱ δαίμονες κατορθώσουν νὰ αἰχμαλωτίσουν τὸν νοῦν τοῦ ἀνθρώπου, ἐξ ὑπαιτιότητος τοῦ ἰδίου, τὸν τραβοῦν σιγὰ—σιγὰ μὲ τέχνην, μέχρι νὰ τὸν φέρουν ἐπάνω εἰς ἕνα ὁρατὸν πάθος· τότε λοιπὸν ὁ νοῦς τοῦ ἀνθρώπυυ ἐάν, εἰς τὸ κατάντημα αὐτό, στραφῇ καὶ ζητήσῃ τὸν Θεόν, ἐνθυμηθεὶς τὴν αἰώνιον κόλασιν, ἀμέσως πίπτει τὸ πάθος καὶ ἐξαφανίζεται. Ἔχει γραφῇ· «ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ, καὶ γνώσῃ ποῦ ἦσθα» (Ἡσ. λ' 15).

6. Ἕνας ἄλλος Γέρων εἶπεν· εἶναι περίεργον καὶ ἀξιοθαύμαστον πῶς τὰς μὲν εὐχὰς τὰς ἀναπέμπομεν, ὡς νὰ εἶναι ὁ Θεὸς παρὼν καὶ νὰ ἀκούῃ ὅσα λέγομεν, ἐνῷ τὰς ἁμαρτίας τὰς διαπράττομεν τόσον ἀδιάντροπα καὶ ἄφοβα, ὡς νὰ εἶναι ἀπὼν ὁ Θεὸς καὶ νὰ μὴ βλέπῃ οὔτε τὰ ἔργα μας οὔτε καὶ ἡμᾶς.



εἰς οἶκον Δαγών, καὶ παρέστησαν αὐτὴν παρὰ Δαγών . . . . καὶ ἰδοὺ Δαγὼν πεπτωκὼς ἐπὶ πρόσωπον αὐτοῦ ἐνώπιον Κιβωτοῦ τοῦ Θεοῦ. . .» (Α' Βασ. ε' 2—3)



·:ΥΠΟΘΕΣΙΣ Η΄:·

Ὅτι ἀδιαλείπτως προσεύχεσθαι δεῖ, καὶ τί ἐστι τοῦτο, καὶ πῶς κατορθοῦται.

Πρέπει νὰ προσευχώμεθα ἀδιαλείπτως· τί εἶναι ἡ ἀδιάλειπτος προσευχὴ καὶ πῶς κατορθώνεται.



Α΄. Ἐν τῷ Γεροντικῷ.



ΕΙΠΕ ΓΕΡΩΝ· ἐὰν Μοναχὸς ὅτε ἵσταται εἰς προσευχήν, τότε μόνον εὔχεται, ὁ τοιοῦτος ὅλως οὐκ εὔχεται.

2. Διηγήσαντο ἀδελφοὶ λέγοντες, ὅτι ποτὲ παρεβάλομεν Γέρουσι, καὶ κατὰ τὸ εἰωθὸς γενομένης εὐχῆς, ἀσπασάμενοι ἀλλήλους, ἐκαθέσθημεν, καὶ μετὰ τὸ λαλῆσαι μέλλοντες ἀναχωρεῖν, ᾐτήσαμεν εὐχὴν γενέσθαι· εἶπε δέ τις τῶν Γερόντων πρὸς ἡμᾶς τί γάρ, οὐκ ηὔξασθε; Καὶ εἴπομεν αὐτῷ ὅτε εἰσήλθομεν, Ἀββᾶ, ἐγένετο εὐχή, καὶ ὡμιλοῦμεν ἕως ἄρτι. Λέγει ὁ Γέρων· συγχωρήσατε, ἀδελφοί, μεθ' ὑμῶν καθεζόμενός τις ἀδελφὸς καὶ ὁμιλῶν, ἑκατὸν τρεῖς εὐχὰς ἐποίησε. Καὶ τοῦτο αὐτοῦ εἰπόντος, ἐποίησεν εὐχὴν καὶ ἀπέλυσεν ἡμᾶς.

3. Εἶπε Γέρων· χρήζει τούτων ὁ ἄνθρωπος, τοῦ φοβεῖσθαι τὸ τοῦ Θεοῦ κρῖμα. καὶ μισῆσαι τὴν ἁμαρτίαν, καὶ ἀγαπῆσαι τὴν ἀρετήν, καὶ δέεσθαι τοῦ Θεοῦ διὰ παντός.

4. Εἶπεν ὁ Ἀββᾶς Ἰσίδωρος· ἐγώ, ὅτε ἤμην νεώτερος καὶ ἐκαθήμην εἰς τὸ κελλίον μου, μέτρον συνάξεως οὐκ εἶχον· ἡ γὰρ νύξ μοι καὶ ἡ ἡμέρα σύναξις ἦν.

5. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἀρσενίου, ὅτι ὀψὲ Σαββάτου ἐπιφωσκούσης Κυριακῆς, ἠφίει τὸν ἥλιον ὀπίσω αὐτοῦ, καὶ ἔτεινε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν εὐχόμενος, ἕως πάλιν ἔλαμψεν ὁ ἥλιος εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ τότε ἐκαθέζετο.

6. Ἐδηλώθη τῷ μακαρίῳ Ἐπιφανίῳ τῷ Ἐπισκόπῳ Κύπρου, παρὰ τοῦ Ἀββᾶ τῆς Μονῆς ἧς εἶχεν ἐν Παλαιστίνῃ, ὅτι εὐχαῖς σου, οὐκ ἠμελήσαμεν τοῦ κανόνος ἡμῶν, ἀλλὰ μετὰ σπουδῆς καὶ τὴν τρίτην, καὶ τὴν ἕκτην, καὶ τὴν ἐνάτην ἐπιτελοῦμεν. Ὁ δὲ καταγνοὺς αὐτῶν, ἐδήλωσεν αὐτοῖς λέγων, ὅτι φανεροί ἐστε ἀμελοῦντες, τὰς ἄλλας ὥρας τῆς ἡμέρας ἀργοῦντες· δεῖ γὰρ τὸν ἀληθινὸν Μοναχόν, ἀδιαλείπτως ἔχειν καὶ τὴν εὐχὴν καὶ τὴν ψαλμῳδίαν ἐν τῇ καρδίᾳ αὐτοῦ.

7. Ὁ αὐτὸς ἔλεγεν, ὅτι Δαβὶδ ὁ Προφήτης ἐν ἀωρίᾳ ηὔχετο, μεσονύκτιον ἐξηγείρετο, πρὸ τοῦ ὄρθρου παρεκάλει, ὄρθρου παρίστατο, πρωΐας ἐδέετο, ἑσπέρας

καὶ μεσημβρίας ἱκέτευε, καὶ διὰ τοῦτο ἔλεγεν· ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε.

8. Ὁ Ἀββᾶς Ἡσαΐας ὁ Πρεσβύτερος τοῦ Πηλουσίου, γενομένης ἀγάπης, καὶ τῶν ἀδελφῶν ἐν τῇ Ἐκκλησίᾳ ἐσθιόντων καὶ συλλαλούντων ἀλλήλοις, ἐπιτιμήσας αὐτοῖς εἶπε· σιωπᾶτε, ἀδελφοί, οἶδα ἐγὼ ἀδελφὸν ἐσθίοντα μεθ' ἡμῶν καὶ πίνοντα ποτήρια ὅσα ἡμεῖς, καὶ ἡ εὐχὴ αὐτοῦ ἀναβαίνει ἐνώπιον τοῦ Θεοῦ ὡς πῦρ.

9. Παρέβαλόν ποτέ τινες τῷ Ἀββᾷ Λουκίῳ εἰς τὸ Ἔνατον, οἱ λεγόμενοι Εὐχῖται Μοναχοί, καὶ ἠρώτησεν αὐτοὺς ὁ Γέρων· τί τὸ ἔργον ἡμῶν; Οἱ δὲ εἶπον· ἡμεῖς οὐ ψηλαφῶμεν ἐργόχειρον, ἀλλά, καθὼς λέγει ὁ Ἀπόστολος, ἀδιαλείπτως προσευχόμεθα. Ἔφη ὁ Γέρων· οὐκ ἐσθίετε; Οἱ δὲ εἶπον· ναί· Καὶ ὁ Γέρων· οὐ κοιμᾶσθε; Καὶ πάλιν συνέθεντο. Καὶ ἠρώτησεν ὁ Γέρων· ὅταν οὖν κοιμᾶσθε, τίς εὔχεται ὑπὲρ ὑμῶν; Καὶ οὐχ εὗρον πρὸς τοῦτο ἀποκριθῆναι αὐτῷ.

10. Ὁ δὲ εἶπεν αὐτοῖς· συγχωρήσατέ μοι, ἰδοὺ οὐ ποιεῖτε καθὼς λέγετε, ἐγὼ δὲ δεικνύω ὑμῖν, ὅτι ἐργαζόμενος τὸ ἐργόχειρόν μου, ἀδιαλείπτως προσεύχομαι· καθέζομαι γὰρ σὺν Θεῷ βρέξας τὰ μικρά μου θαλλία, καὶ πλέκων αὐτὰ σειράν, λέγω· ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· οὐκ ἔστιν οὖν τοῦτο εὐχή; Οἱ δὲ εἶπον· ναί.

11. Καὶ ὁ Γέρων· ὅταν οὖν ἐμμείνω δι' ὅλης τῆς ἡμέρας ἐργαζόμενος, ποιῶ, πλέον ἢ ἔλαττον, δεκαὲξ νουμία, καὶ παρέχω ἐξ αὐτῶν εἰς τὴν θύραν τινὶ ἀδελφῷ, τὰ δὲ λοιπὰ ἐσθίω καὶ εὔχεται ὑπὲρ ἐμοῦ ὁ λαμβάνων τὰ νουμία, ὅτε ἐσθίω ἢ κοιμῶμαι, καὶ διὰ τῆς Χάριτος τοῦ Χριστοῦ, πληροῦταί μοι τὸ ἀδιαλείπτως προσεύχεσθαι.

Τοῦ Πατρός

Οἶμαι τὸν Γέροντα πρὸς τὸν ἐκείνων σκοπὸν ἀποκριθῆναι αὐτοῖς, οὐ γὰρ πάντως προσευχὴν μόνην ἐνόμιζε τὴν διὰ τοῦ στόματος ἐνεργουμένην τε καὶ σωματικήν.

12. Ἔλεγον περί τινος Γέροντος, ὅτι ἐποίησε τετράμηνον παραβάλλων τινὶ ἀδελφῷ εἰς Σκῆτιν καθημέραν, καὶ οὔτε ἅπαξ εὗρεν αὐτὸν σχολάζοντα· παραβαλὼν οὖν αὖθις, καὶ σταθεὶς πρὸς τῇ θύρᾳ ἔξω, ἤκουσεν αὐτοῦ μετὰ κλαυθμοῦ λέγοντος· Κύριε, εἰ οὐκ ἠχεῖ τὰ ὦτά μου κράζοντός μου πρὸς σὲ ἐλέησόν με διὰ τὰς ἁμαρτίας μου, οὔτε ἐγὼ κάμνω παρακαλῶν σε· ἤγουν, εἰ ποιεῖς σύ, Κύριε, μὴ βαρεῖσθαί μου τὰ ὦτα ἀπὸ τοῦ κράζειν με διηνεκῶς πρὸς σὲ τὸ ἐλέησόν με, εἰ τοῦτο σὺ ποιεῖς, ὥστε μὴ ἐμποδίζεσθαί με, οὐδὲ ἐγὼ κοπιῶ παρακαλῶν σε.

13. Εἶπε Γέρων· ἐὰν μὴ ἔχῃς ταπείνωσιν πνευματικήν, ἢ προσευχὴν πνευματικήν, κτῆσαι αὐτὰ κἂν σωματικά, καὶ δι' αὐτῶν ἔρχονταί σοι κᾀκεῖνα.

14. Ἠρώτησέ τις Γέροντα λέγων· πῶς δύναταί τις πάντοτε προσεύχεσθαι; ἀσθενεῖ γὰρ τὸ σῶμα πρὸς λειτουργίαν. Καὶ ἀπεκρίθη ὁ Γέρων· οὐ μόνον τὸ στῆναι ἐν καιρῷ προσευχῆς, ἐκεῖνο λέγεται προσευχή, ἀλλὰ τὸ πάντοτε.

15. Λέγει ὁ ἀδελφός, πῶς πάντοτε; Καὶ εἶπεν ὁ Γέρων· εἴτε ἐσθίεις, εἴτε πίνεις, εἴτε ἐν ὁδῷ περιπατεῖς, εἴτε ἔργον ποιεῖς, μὴ ἀποστῇς τῆς εὐχῆς.

16. Φησὶν ὁ ἀδελφός· ἐὰν δὲ μετά τινος ὁμιλῇ τις, πῶς δύναται τὸ πάντοτε προσεύχεσθαι πληρῶσαι; Ἀπεκρίθη ὁ Γέρων· διὰ τοῦτο εἶπεν ὁ Ἀπόστολος, διὰ πάσης προσευχῆς καὶ δεήσεως· ὅτε οὖν μετὰ ἄλλου ὁμιλῶν οὐ σχολάζεις προσεύξασθαι, διὰ δεήσεως προσεύχου.

17. Λέγει ὁ ἀδελφός, ποίαν δὲ εὐχὴν ὀφείλει τις προσεύχεσθαι; Καὶ εἶπεν ὁ Γέρων· τὸ Πάτερ ἡμῶν· πλὴν ὁ θέλων τοῦτο κατορθῶσαι, ὀφείλει τοὺς ἀνθρώπους πάντας ὡς ἕνα ὁρᾶν, καὶ καταλαλιᾶς ἀπέχεσθαι.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων Ἀσκητὴς εἶπεν· ἐὰν ὁ Μοναχὸς προσεύχεται πρὸς τὸν Θεὸν τότε μόνον, ὅταν ὁρίζουν τοῦτο αἱ τακταὶ ὧραι τῆς προσευχῆς, ὁ τοιοῦτος καθόλου δὲν προσεύχεται.

2. Μερικοὶ ἀδελφοὶ διηγήθησαν τὸ ἑξῆς περιστατικόν: Κάποτε —εἶπον—ἐπεσκέφθημεν Γέροντας Ἀσκητάς· καὶ κατὰ τὴν συνήθειαν, ἀφοῦ ἐγένετο ἡ εὐχὴ καὶ ἐχαιρετήσαμεν ἀλλήλους, ἐκαθήσαμεν πλησίον τῶν Γερόντων. Ὅταν δὲ ἐτελειώσαμεν τὴν συζήτησιν ἐπὶ τῶν θεμάτων, διὰ τὰ ὁποῖα προσήλθομεν, καὶ ἡτοιμάσθημεν νὰ ἀναχωρήσωμεν, ἐζητήσαμεν νὰ γίνῃ ἡ εὐχὴ κατὰ τὸν ἀποχαιρετισμόν. Τότε ἕνας ἐκ τῶν Γερόντων μᾶς λέγει:

—Τί λοιπόν; Δὲν ηὐχήθητε;

—Ἀββᾶ—ἀπηντήσαμεν ἡμεῖς— ὅταν εἰσήλθωμεν εἰς τὸ κελλί σας ἔγινεν εὐχή· καὶ μέχρι τώρα συνωμιλούσαμεν.

—Συγχωρήσατέ με, ἀδελφοί μου—εἶπε πάλιν ὁ Γέρων—ἕνας ἀδελφός, ποὺ ἐκάθητο μαζί σας καὶ συνωμίλει, εἶπεν ἑκατὸν τρεῖς φορὰς τὴν εὐχήν. Ἀφοῦ δὲ εἶπεν αὐτό, δι' οὗ συνέστησε τὴν ἀδιάλειπτον εὐχήν, μᾶς ἄφησε νὰ φύγωμεν.

3. Ἕνας Γέρων εἶπεν: Ἀπὸ αὐτὰ τὰ πράγματα ἔχει ἀνάγκην ὁ ἄνθρωπος· νὰ φοβῆται τὴν δικαίαν κρίσιν τοῦ Θεοῦ, νὰ μισήσῃ τὴν ἁμαρτίαν, νὰ ἀγαπήσῃ τὴν ἀρετὴν καὶ νὰ δέεται συνεχῶς καὶ πάντοτε πρὸς τὸν Θεόν.

4. Ὁ Ἀββᾶς Ἰσίδωρος εἶπεν· ἐγώ, ὅταν ἤμουν νεώτερος καὶ παρέμενα εἰς τὸ κελλίον μου, δὲν εἶχον μέτρον, διὰ νὰ προσδιορίζω τὸν χρόνον τῶν ἀκολουθιῶν, διότι, δι' ἐμέ, καὶ ἡ νύκτα καὶ ἡ ἡμέρα ἦτο ἀδιαίρετος χρόνος διὰ συνεχῆ ἀκολουθίαν.

5. Διὰ τὸν Ἀββᾶν Ἀρσένιον διηγοῦντο τὰ ἑξῆς:

Ἀργὰ τὸ Σάββατον, ὅταν ἐτελεῖτο ὁ ἑσπερινὸς διὰ τὴν Κυριακήν, ἤρχιζεν ἐντατικὴν προσευχὴν διὰ ἀνατάσεως τῶν χειρῶν πρὸς τὸν οὐρανόν, καὶ παρέμενεν εἰς τὴν στάσιν αὐτὴν τῆς ἐπιμόνου ἱκεσίας, ἀπὸ τὴν στιγμὴν ποὺ ἔδυεν ὁ ἥλιος ὀπίσω αὐτοῦ, μέχρι τῆς στιγμῆς ποὺ τὸ πρόσωπόν του ἐφωτίζετο ἀπὸ τὰς ἀκτῖνας τοῦ ἀνατέλλοντος ἡλίου τῆς Κυριακῆς. Τότε μόνον ἐκάθητο.

6. Κάποτε ἕνας Ἀββᾶς, Ἡγούμενος μιᾶς Μονῆς εἰς Παλαιστίνην, ἐπεσκέφθη τὸν μακάριον Ἐπίσκοπον Κύπρου Ἐπιφάνιον καί, γενομένης συζητήσεως, τοῦ λέγει:

—Μὲ τὰς εὐχάς σου δὲν παρημελήσαμεν τὸν κανόνα μας· ἀλλὰ

μετὰ προθυμίας ἐπιτελοῦμεν τὰς καθιερωμένας ἀκολουθίας, ἀκόμη καὶ τῆς τρίτης, τῆς ἕκτης καὶ τῆς ἐνάτης ὥρας.

Ὁ Ἐπίσκοπος ὅμως, ἀντὶ νὰ τοὺς ἐπαινέσῃ, τοὺς κατηγόρησε καὶ ἐδήλωσε πρὸς αὐτοὺς αὐστηρῶς:

—Φαίνεται, ὅτι εἶσθε ἀμελεῖς, ἐφ' ὅσον τὰς ἄλλας ὥρας τῆς ἡμέρας ἀργεῖτε ἀπὸ τὴν προσευχήν. Διότι ὁ πραγματικὸς Μοναχὸς πρέπει νὰ ἔχῃ εἰς τὴν καρδίαν του συνεχῶς καὶ ἀδιαλείπτως τὴν εὐχὴν καὶ τὴν ψαλμῳδίαν.

7. Ὁ ἴδιος, ὁ Ἅγιος Ἐπιφάνιος Κύπρου, ἔλεγεν: Ὁ Προφήτης Δαυῒδ προσηύχετο κατὰ πᾶσαν ὥραν· οὕτως ἐσηκώνετο τὸ μεσονύκτιον διὰ προσευχήν· πρὸ τοῦ ὄρθρου παρεκάλει τὸν Θεόν· κατὰ τὸν ὄρθρον παρίστατο ἐνώπιον τοῦ Θεοῦ διὰ τῆς προσευχῆς· τὸ πρωῒ ἐδέετο, κατὰ τὴν ἑσπέραν καὶ μεσημβρίαν ἱκέτευε, καὶ δι' αὐτὸ ἔλεγε· Θεέ μου, ἑπτὰ φορὰς τὴν ἡμέραν σὲ δοξολογῶ «ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε» (ριη' 164).

8. Ὁ Ἀββᾶς Ἡσαΐας ὁ Πρεσβύτερος τοῦ Πηλουσίου, ὅταν κάποτε ἔγινεν ἀγάπη [1] καὶ οἱ ἀδελφοὶ συνέτρωγον καὶ συνωμίλουν εἰς τὴν Ἐκκλησίαν, τοὺς ἤλεγξε διὰ τὰς ὁμιλίας καὶ τοὺς εἶπε· «Ἀδελφοί μου, σιωπᾶτε· ἐγὼ γνωρίζω ἀδελφόν, ποὺ τρώγει μαζί μας καὶ πίνει ὅσα ποτήρια καὶ ἡμεῖς πίνομεν, καὶ ὅμως ἐξέρχεται συνεχῶς ἀπὸ τὴν καρδίαν του ἡ εὐχὴ πρὸς τὸν Θεόν, ὅπως τὸ πῦρ».

9. Κάποτε μερικοὶ Μοναχοί, ποὺ ἐλέγοντο Εὐχῖται, ἐπεσκέφθησαν τὸν Ἀββᾶν Λούκιον εἰς τὸ Ἔνατον. Ὁ Γέρων, ἀφοῦ ἀνεπαύθησαν ὀλίγον, τοὺς ἠρώτησε:

—Μὲ τί ἀσχολεῖσθε;

—Ἡμεῖς δὲν ἐγγίζομεν ἐργόχειρον—ἀπήντησαν—ἀλλά, ὅπως λέγει ὁ Ἀπόστολος Παῦλος, ἀδιαλείπτως προσευχόμεθα [2].

—Δὲν τρώγετε; — ἠρώτησε πάλιν ὁ Γέρων.

—Μάλιστα.

—Δὲν κοιμᾶσθε;

—Μάλιστα—ἀπήντησαν πάλιν ἐκεῖνοι.

—Ὅταν λοιπὸν κοιμᾶσθε, τότε ποῖος εὔχεται ἐξ ὀνόματός σας;

Οἱ Εὐχῖται αὐτοὶ Μοναχοὶ δὲν ἠδυνήθησαν νὰ τοῦ ἀπαντήσουν.

10. Τότε ὁ Ἀββᾶς Λούκιος τοὺς εἶπε συμβουλεύων αὐτούς:

—Συγχωρήσατέ με, διότι δὲν ἐνεργεῖτε συμφώνως πρὸς ὅσα λέ-

---

1) Ἀγάπη, ἐλέγετο, καὶ ἀπὸ τοὺς πρώτους ἀκόμη Χριστιανικοὺς χρόνους, ἡ μετὰ τὴν Θείαν Λειτουργίαν παρατιθεμένη Τράπεζα, εἰς ἣν παρεκάθηντο καὶ συνέτρωγον οἱ μεταλαβόντες.

2) «Ἀδιαλείπτως προσεύχεσθε» (Α' Θεσ. ε' 17).

γετε· ἐγὼ θὰ σᾶς ἀποδείξω, ὅτι καὶ τὸ ἐργόχειρόν μου ἐργάζομαι καὶ ἀδιαλείπτως προσεύχομαι. Κάθομαι δηλαδή, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ βρέξω τοὺς μικροὺς βλαστοὺς τῶν φοινίκων, καὶ κατὰ τὸ διάστημα, ποὺ πλέκω αὐτοὺς εἰς σειράν, διὰ νὰ κατασκευάσω τὸ ζεμπίλι, λέγω· «Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου» (Ψαλμ. ν' 3). Αὐτὸ λοιπὸν δὲν εἶναι εὐχή;

—Μάλιστα— ἀπήντησαν οἱ Μοναχοί.

11. Ὁ Γέρων συνέχισεν:

—Ὅταν δὲ ἐργασθῶ ὁλόκληρον τὴν ἡμέραν, κερδίζω περίπου δέκα ἕξ νομίσματα· μέρος ἀπ' αὐτὰ τὰ νομίσματα τὰ προσφέρω εἰς κάποιον ἀδελφόν, ρίπτων αὐτὰ εἰς τὴν θύραν τοῦ κελλίου του, διὰ νὰ μὴ μὲ ἴδῃ καὶ μὲ γνωρίσῃ. Μὲ τὰ ὑπόλοιπα διατρέφομαι. Ὁ ἀδελφὸς ποὺ λαμβάνει τὴν ἐλεημοσύνην εὔχεται, χωρὶς νὰ μὲ γνωρίζῃ, δι' ἐμέ, ὅταν ἐγὼ τρώγω ἢ κοιμᾶμαι. Τοιουτοτρόπως, μὲ τὴν Χάριν τοῦ Θεοῦ, ἐφαρμόζω τὴν ἀδιάλειπτον προσευχήν (1).

Τοῦ Πατρὸς (τοῦ ἐρανιστοῦ τοῦ Εὐεργετινοῦ)

Ἔχω τὴν γνώμην, ὅτι ὁ Γέρων ἀπήντησε πρὸς τοὺς ἐπισκεφθέντας αὐτὸν Μοναχούς, ἀναλόγως τοῦ σκοποῦ, ποὺ ἐπεδίωκον διὰ νὰ τοὺς κατευθύνῃ ὀρθῶς εἰς τὴν ζωήν των· δηλαδὴ δὲν ἐθεώρει ὡς ἀποκλειστικὴν προσευχὴν ἐκείνην μόνον, ποὺ ἐκφράζει κανεὶς διὰ τοῦ στόματος, ὅταν ὁ ἄνθρωπος εὑρίσκεται εἰς ὡρισμένην σωματικὴν στάσιν πρὸς προσευχήν, (ἀλλὰ καὶ τὴν ἐκπλήρωσιν τῶν ἄλλων καθηκόντων, ὡς τῆς ἐργασίας, τῆς ἐλεημοσύνης).

12. Διηγοῦντο δι' ἕνα Γέροντα, ὅτι ἐπὶ τέσσαρας μῆνας ἐπεσκέπτετο καθημερινῶς εἰς Σκήτην ἕνα ἀδελφόν, καὶ οὔτε μίαν φορὰν τὸν εὗρε νὰ ἀναπαύεται καὶ νὰ παραμένῃ ἀργός.

Μίαν ἡμέραν λοιπὸν τὸν ἐπεσκέφθη κρυφίως καὶ ἐστάθη, χωρὶς νὰ γίνῃ ἀντιληπτός, ἔξω ἀπὸ τὸ κελλί του, κοντὰ εἰς τὴν θύραν. Ἀπὸ ἐκεῖ τὸν ἤκουσε νὰ λέγῃ κλαίων· «Κύριε, ἐὰν τὰ αὐτιά μου δὲν βουΐζουν ἀπὸ τὸν ἀντίλαλον τῆς ἀπεγνωσμένης πρὸς Σὲ κραυγῆς μου· «ἐλέησόν με διὰ τὰς ἁμαρτίας μου», οὔτε ἐγὼ κουράζομαι νὰ σὲ παρακαλῶ· δηλαδή, ἐὰν Σύ, Κύριε, κάμῃς νὰ μὴ βαρύνωνται τὰ ὦτα μου ἀπὸ τοῦ νὰ κράζω διαρκῶς πρὸς Σὲ τὸ ἐλέησόν με· ἐὰν τὸ κάμῃς Σὺ αὐτό, ὥστε νὰ μὴ ἐμποδίζωμαι, οὔτε καὶ ἐγὼ κουράζομαι νὰ Σὲ παρακαλῶ (2).

---

1) Κατὰ τὸν Ἀββᾶν Λούκιον ἡ κατὰ Θεὸν ἐργασία καὶ ἡ ἐξ αὐτῆς ἐλεημοσύνη ἀποτελεῖ μορφὴν ἀδιαλείπτου προσευχῆς.

2) Ὁ ἄγνωστος Ἀσκητής, διὰ τῶν λόγων αὐτῶν δηλοῖ τὸ ἔντονον καὶ δραματικὸν τῆς πρὸς τὸν Θεὸν κραυγῆς. Ἡ ὑπερένταsις αὐτὴ ἐπιφέρει ἴλιγγον εἰς τὸν κραυγάζοντα μὲ συνέπειαν τὴν ἀναστολὴν τῆς γοερᾶς ἐπικλήσεως. Ἀπὸ

13. Ἕνας Γέρων Ἀσκητὴς εἶπεν· ἐὰν δὲν ἔχῃς ταπείνωσιν πνευματικὴν καὶ προσευχὴν πνευματικήν, προσπάθησε νὰ ἀποκτήσῃς αὐτά, ἔστω καὶ εἰς τὸ χαμηλὸν σωματικὸν ἐπίπεδον· τότε δι' αὐτῶν θὰ ἔλθουν εἰς σὲ καὶ ἐκεῖνα, δηλαδὴ τὰ πνευματικά (1).

14. Ἕνας ἀδελφὸς ὑπέβαλεν εἰς ἕνα Γέροντα τὴν ἑξῆς ἐρώτησιν:

—Γέροντά μου, πῶς εἶναι δυνατὸν νὰ προσεύχεται κανεὶς πάντοτε; Διότι συχνάκις τὸ σῶμα, ἀπὸ ἀσθένειαν, δὲν δύναται νὰ παραμείνῃ εἰς τὴν στάσιν τῆς προσευχῆς ἢ τὴν ἀκολουθίαν.

Ὁ Γέρων ἀπήντησε;

—Προσευχὴ δὲν λέγεται τὸ νὰ προσεύχεσαι μόνον κατὰ τὴν ὥραν τῆς προσευχῆς, ἀλλὰ τὸ νὰ προσεύχεσαι πάντοτε.

15. —Καὶ πῶς εἶναι δυνατὸν νὰ προσεύχεσαι πάντοτε;—ἠρώτησεν ἐκ δευτέρου ὁ ἀδελφός.

Ὁ Γέρων ἀπήντησε πάλιν:

—Εἴτε τρώγεις, εἴτε πίνεις, εἴτε περιπατεῖς εἰς τὸν δρόμον, εἴτε ἐργάζεσαι, νὰ μὴ ἀφήνῃς τὴν εὐχήν, ἀλλὰ νὰ προφέρῃς αὐτὴν ἐσωτερικῶς διὰ τῆς καρδίας σου.

16. Ὁ ἀδελφὸς καὶ πάλιν ἠρώτησε μὲ κάποιαν ἀπορίαν:

—Ἐὰν συνομιλῇς μὲ κάποιον, πῶς εἶναι δυνατὸν νὰ ἐφαρμόσῃς τὴν ἐσωτερικὴν ἀδιάλειπτον προσευχήν;

Ἀπεκρίθη ὁ Γέρων:

—Δι' αὐτὸ εἶπεν ὁ Ἀπόστολος· «διὰ πάσης προσευχῆς καὶ δεήσεως» (Ἐφεσ. ς' 18)· ὁσάκις, δηλαδή, συνομιλεῖς μὲ ἄλλον καὶ δὲν εὐκαιρεῖς νὰ προσευχηθῇς, τότε ἡ καρδία σου νὰ ψιθυρίζῃ τὴν δέησιν «Κύριε Ἰησοῦ Χριστέ, ἐλέησόν με» (2).

17. Ἠρώτησε καὶ ἐκ τρίτου ὁ ἀδελφός:

—Ποίαν δὲ προσευχὴν ὀφείλει κανεὶς νὰ ἀναπέμπῃ εἰς τὸν Θεόν;

Καὶ εἰς αὐτὴν τὴν ἐρώτησιν ὁ Γέρων ἀπήντησεν:

—Ἡ καταλληλοτέρα προσευχὴ εἶναι τὸ «Πάτερ, ἡμῶν». Πλὴν ὅμως ἐκεῖνος ποὺ ἐπιθυμεῖ νὰ χρησιμοποιῇ συνεχῶς καὶ ἀδιαλείπτως τὴν προσευχὴν αὐτήν, διὰ νὰ τὸ κατορθώσῃ, πρέπει ὅλους τοὺς ἀν-

---

τὴν ἀναστολὴν αὐτὴν παρακαλεῖ τὸν Θεὸν νὰ τὸν προφυλάξῃ, ὥστε ἡ προσευχή του νὰ παραμείνῃ ἀδιάλειπτος.

1) Σωματικὴ ταπείνωσις, καὶ σωματικὴ προσευχή, εἶναι αἱ ἐξωτερικαὶ ἐκδηλώσεις τῶν ἀρετῶν αὐτῶν· δηλαδὴ ταπεινὴ συμπεριφορά, στάσις προσευχῆς κ.τ.λ. Πνευματικὴ δέ, ἡ ἐσωτερικὴ καὶ ἀδιάλειπτος κατάστασις τῆς ψυχῆς, ἡ βιουμένη ὡς διαρκὴς συντριβὴ καὶ συνεχὴς προσευχή.

2) Κατ' ἀρχὴν τὸ πλῆρες ρητὸν τοῦ Ἀποστόλου Παύλου εἶναι· «διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν Πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει» (Ἐφεσ. ς' 18). Ἐπὶ τῇ βάσει αὐτοῦ τοῦ χωρίου γίνεται μία διάκρισις μεταξὺ προσευχῆς καὶ δεήσεως. Τόσον ἡ προσευχὴ ὅσον καὶ ἡ δέησις εἶναι ἐκδηλώσεις συνεχοῦς καὶ ἐπιμόνου ἀνατάσεως τῆς ψυχῆς πρὸς τὸν Θεόν· ἡ προσευχὴ ὅμως εἶναι ἐνέργεια περισ-

θρώπους νὰ τοὺς βλέπῃ ὅπως ἕνα ἄνθρωπον, καὶ νὰ μὴ κατηγορῇ τοὺς συνανθρώπους του.

Β'. Ἀντιόχου τοῦ Παντέκτου.

ΚΑΙΡΟΣ μὲν παντὶ πράγματι ἁρμόζει ὁ ἐπιτήδειος, καθὰ καὶ Σολομὼν ἀπεφήνατο· τῇ δὲ προσευχῇ, πᾶς καιρὸς ἐπιτήδειος, οὐκ ἀνάρμοστος· «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις Αὐτοῦ ἐν τῷ στόματί μου»· διὸ καὶ ὁ Ἀπόστολος ἀδιαλείπτως ἡμῖν προστάσσει προσεύχεσθαι, ὡς παντὸς καιροῦ ἐπιτηδείου ὄντος εἰς δέησιν, τὸ αὐτὸ δὲ παρακελεύεται καὶ ὁ Κύριος λέγων· «Ἀγρυπνεῖτε ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα ἀκατακρίτως στῆτε ἔμπροσθεν τοῦ Βήματος τοῦ Χριστοῦ».

2. Ὁ θέλων οὖν καθαρίσαι τὴν ἑαυτοῦ καρδίαν τῇ μνήμῃ τοῦ Κυρίου διὰ παντὸς ἐκπυρούτω αὐτήν, τοῦτο μελέτην μόνον καὶ ἔργον ἄπαυστον ἔχων. οὐ γὰρ ποτὲ μὲν εὔχεσθαι δεῖ, ποτὲ δὲ μή, τοὺς τὴν ἑαυτῶν σαπρίαν ἀποβαλεῖν ἐθέλοντας, ἀλλ' ἀεὶ τῇ προσευχῇ σχολάζειν ἐν τῇ τηρήσει τοῦ νοῦ, κἂν ἔξω που τῶν εὐκτηρίων οἴκων αὐλιζώμεθα.

3. Ὃν τρόπον γὰρ ὁ θέλων καθαρίσαι χρυσίον, ἐὰν πρὸς βραχὺ τὸ πῦρ ἐάσῃ σχολάσαι τοῦ χωνευτηρίου, σκληρίαν πάλιν τῇ καθαιρουμένῃ ὕλῃ ἐμποιεῖ, οὕτω καὶ ὁ ποτὲ μὲν μεμνημένος τοῦ Θεοῦ, ποτὲ δὲ μή, καὶ ὅπερ δοκεῖ κτᾶσθαι διὰ τῆς εὐχῆς, τοῦτο πάλιν ἀπόλλυσι διὰ τῆς χαυνότητος.

4. Καὶ καθὼς τὸν σίδηρον ἡ τοῦ πυρὸς διηνεκὴς συνάφεια ποιεῖ ἁλάφητον, οὕτω καὶ αἱ πυκναὶ προσευχαὶ ἐρρωμενέστερον τὸν νοῦν εἰς τὸν κατὰ τοῦ ἐχθροῦ παρασκευάζουσι πόλεμον· καὶ ὥσπερ ὁ σίδηρος πυρούμενος μεταμορφοῦται εἰς τοῦ πυρὸς τὴν θέαν, οὕτω καὶ ὁ νοῦς φωτίζεται ἐκ τῆς αἴγλης τοῦ θείου πυρὸς καὶ φωτοειδὴς ὅλος καὶ ἐξαστράπτων γίνεται.

Ἑρμηνεία

ΔΙΑ κάθε ἐργασίαν ὑπάρχει καὶ ὁ ἁρμόδιος χρόνος, ὅπως εἶπε καὶ ὁ Σολομών (1). Διὰ τὴν προσευχὴν ὅμως εἶναι κατάλληλος ἡ κάθε στιγμὴ τοῦ χρόνου. Δὲν ὑπάρχει δηλαδὴ καιρός, ποὺ νὰ μὴ ταιριάζῃ διὰ τὴν προσευχήν. Ὁ Δαυῒδ λέγει· «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου» (Ψαλμ. λγ' 2). Ὁ δὲ Ἀπόστολος Παῦλος μᾶς διατάσσει νὰ προσευχώμεθα ἀδιακόπως, «ἀδιαλείπτως προσεύχεσθε» (Α' Θεσ. ε' 17), διότι ὁ κάθε καιρὸς εἶναι κατάλληλος πρὸς δέησιν. Τὸ ἴδιον πρᾶγμα μᾶς συμβουλεύει καὶ ὁ Κύριος λέγων εἰς ἡμᾶς· «Ἀγρυπνεῖτε ἐν παντὶ καιρῷ παρακαλοῦντες, ὅπως σταθῆτε ἀκατακρίτως ἔμπροσθεν τοῦ Βήματος τοῦ Χριστοῦ» (2).

σότερον νοητικὴ ὡς διατυπουμένη ὑπὸ ὡρισμένον φραστικὸν σχῆμα· ἐνῷ δέησις εἶναι αὐθορμητισμὸς καὶ ἀλάλητος ἐκφορὰ τῆς καρδίας πρὸς τὸν Θεόν, διὸ καὶ δύναται νὰ πραγματοποιῆται καὶ ὁσάκις ἀκόμη ὁ νοῦς εἶναι ἀπησχολημένος μὲ ἕτερόν τι ἀντικείμενον.

1) «Καιρὸς τῷ παντὶ πράγματι...» (Ἐκκλ. γ' 1—17).

2) «Ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου» (Λουκ. κα' 36).

2. Ἐκεῖνος λοιπὸν ποὺ θέλει νὰ καθαρίσῃ τὴν καρδίαν του, πρέπει συνεχῶς νὰ διαφλέγεται μὲ τὴν ἐνθύμησιν τοῦ Κυρίου· αὐτὴ δὲ τὴν διαρκῆ καὶ ἐπίμονον ἐνθύμησιν τοῦ Κυρίου πρέπει νὰ κατάστήσῃ μοναδικὴν μελέτην καὶ ἀκατάπαυστον ἐνασχόλησίν του. Διότι αὐτοὶ ποὺ θέλουν νὰ βγάλουν ἔξω ἀπὸ τὴν καρδίαν των τὴν σαπίλαν τῶν κακῶν λογισμῶν καὶ τῆς ἁμαρτίας, δὲν πρέπει ἄλλοτε μὲν νὰ προσεύχωνται, ἄλλοτε δὲ ὄχι, ἀλλὰ πάντοτε νὰ ἀσχολοῦνται μὲ τὸ πῶς ὁ νοῦς των θὰ εὑρίσκεται ὑπὸ τὴν ἀκατάπαυστον διέγερσιν τῆς προσευχῆς, ἔστω καὶ ἐὰν εὑρισκώμεθα ἔξω ἀπὸ τοὺς ἱεροὺς Ναούς.

3. Ὅπως ἀκριβῶς αὐτός, ποὺ θέλει νὰ καθαρίσῃ χρυσάφι, ἐὰν ἀφήσῃ, ἔστω καὶ ἐπ' ὀλίγον, νὰ σβύσῃ ἡ φωτιὰ εἰς τὸ καμίνι, σκληρύνει καὶ πάλιν τὸ καθαριζόμενον μῖγμα, ὥστε νὰ εἶναι ἀδύνατος ἡ ἐκκαθάρισις, τὰ ἴδια παθαίνει καὶ ἐκεῖνος, ποὺ ἄλλοτε μὲν ἐνθυμεῖται τὸν Θεὸν διὰ τῆς προσευχῆς, ἄλλοτε δὲ ὄχι· καὶ ἐκεῖνο, ποὺ κερδίζει, διὰ τῆς προσευχῆς, τὸ χάνει πάλιν ἀμέσως κατὰ τὴν διακοπὴν αὐτῆς.

4. Καὶ ὅπως ἡ συνεχὴς ἐπαφὴ τοῦ σιδήρου μὲ τὴν φωτιὰ τὸν καθιστᾷ ἄπιαστον ἀπὸ τὸ ἀνθρώπινον χέρι, τοιουτοτρόπως καὶ αἱ πυκναὶ προσευχαὶ ἐνισχύουν τὸν νοῦν καὶ τὸν κάμνουν ἀκατανίκητον εἰς τὸν πόλεμον ἐναντίον τοῦ ἐχθροῦ. Καὶ ὅπως ἀκριβῶς ὁ εὑρισκόμενος ἐπὶ τῆς πυρᾶς σίδηρος μεταμορφώνεται, καθιστάμενος πυρίμορφος, τοιουτοτρόπως καὶ ὁ νοῦς, διὰ τῆς προσευχῆς, φωτίζεται ἀπὸ τὴν λαμπρότητα τῆς θεϊκῆς φωτιᾶς καὶ ἔτσι γίνεται ὁλόκληρος φωτόμορφος καὶ ἀκτινοβόλος.

Γ'. Τοῦ Ἀββᾶ Ἡσαΐου.

ΤΟ συνεχῶς προσεύχεσθαι, ἀπόλλυσι τὴν αἰχμαλωσίαν, τὸ δὲ κατὰ μικρὸν ἀμελῆσαι, μήτηρ ἐστὶ τῆς λήθης.

2. Εἶπεν ὁ Ἀββᾶς Θεόδωρος ὁ τοῦ Ἐνάτου, ὅτι ἐὰν λογίσηται ἡμῖν ὁ Θεὸς τὰς ἐν ταῖς εὐχαῖς ἀμελείας, καὶ τὰς ἐν ταῖς ψαλμῳδίαις αἰχμαλωσίας, οὐ δυνάμεθα σωθῆναι.

Ἑρμηνεία

ΜΕ τὸ νὰ προσεύχεται ὁ ἄνθρωπος συνεχῶς προφυλάσσεται ἀπὸ τὴν αἰχμαλωσίαν τῶν παθῶν καὶ τῶν πονηρῶν λογισμῶν· ἡ δὲ παραμέλησις τῆς προσευχῆς, ἔστω καὶ ἐπ' ὀλίγον, εἶναι μητέρα τῆς λησμοσύνης (τοῦ Θεοῦ).

2. Ὁ Ἀββᾶς Θεόδωρος, ποὺ ἠσκήτευεν εἰς τὸ Ἔνατον(1), εἶπεν, ὅτι ἐὰν ὁ Θεὸς λογαριάσῃ τὴν ἀμέλειαν, ποὺ ἐπιδεικνύομεν εἰς τὰς προσευχὰς καὶ τὴν εὐχήν, καὶ τὴν αἰχμαλωσίαν τοῦ νοῦ μας ἀπὸ δια-

---

1) Βλέπε περὶ τούτου ἐν τῇ ὑποσημειώσει τῆς σελ.. 458 τοῦ Γ' τόμου.

φόρους σκέψεις, κατὰ τὴν ὥραν τῆς ψαλμῳδίας, ἀσφαλῶς δὲν θὰ ἠμπορέσωμεν νὰ σωθῶμεν.

Δ΄. Τοῦ Ἀββᾶ Μάρκου.

Ο ΣΥΝΙΩΝ εἰς τὸ τοῦ μακαρίου Ἀποστόλου εἰρημένον, μυστικῶς τὴν πάλην ἡμῶν πρὸς τὰ πνευματικὰ τῆς πονηρίας εἶναι φήσαντος, γνώσεται καὶ τὴν παραβολὴν τοῦ Κυρίου, ἣν ἔλεγε πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν· τὸν παραλογιζόμενον τὴν περὶ προσευχῆς ἐντολήν, ἀτοπώτεραι ἀκοαὶ διαδέχονται, ἑτέρᾳ τῇ ἑτέρᾳ καθάπερ δέσμιον παραπέμπουσαι.

Ἑ ρ μ η ν ε ί α

ΕΚΕΙΝΟΣ, ὁ ὁποῖος θὰ ἀντιληφθῇ τὸ βαθύτερον καὶ πραγματικώτερον νόημα τῆς φράσεως τοῦ μακαρίου Ἀποστόλου Παύλου, ὅτι ἡ πάλη ἡμῶν διεξάγεται ἐναντίον τῶν πνευματικῶν δυνάμεων τῆς πονηρίας (1), καὶ ὄχι πρὸς ὑλικὰς καὶ ἐνσάρκους ὑποστάσεις, θὰ ἐννοήσῃ καὶ τὴν παραβολὴν τοῦ Κυρίου, διὰ τῆς ὁποίας συνιστᾷ, ὅτι πρέπει συνεχῶς νὰ προσευχώμεθα καὶ νὰ μὴ λιποψυχοῦμεν (2). Ἐκεῖνος ὁ ὁποῖος παρερμηνεύει τὴν περὶ προσευχῆς ἐντολὴν καὶ δὲν προσεύχεται ἀδιαλείπτως, δέχεται ἀλληλοδιαδόχως ἀτοπωτέρους λογισμοὺς καὶ συμβουλὰς τοῦ πονηροῦ, καὶ μεταφέρεται ὡς αἰχμάλωτος ἀπὸ τοῦ ἑνὸς πονηροῦ ἀκούσματος εἰς τὸ ἄλλο.

Ε΄. Τοῦ Ἁγίου Μαξίμου.

Η ΣΥΝΕΧΗΣ προσευχὴ χωρίζει τὸν νοῦν πάντων τῶν νοημάτων, καὶ γυμνὸν αὐτὸν παρίστησι τῷ Θεῷ· τὰ γὰρ νοήματα, τῶν πραγμάτων εἰσὶ νοήματα.

2. Τῶν δὲ πραγμάτων, τὰ μέν εἰσιν αἰσθητά, τὰ δὲ νοητά· ἐν αὐτοῖς οὖν ὁ νοῦς διατρίβων τὰ νοήματα αὐτῶν περιφέρει.

3. Ἡ δὲ Χάρις τῆς προσευχῆς, τῷ Θεῷ συνάπτει τὸν νοῦν, τῷ δὲ Θεῷ συνάπτουσα, χωρίζει πάντων τῶν νοημάτων· τότε ὁ νοῦς γυμνὸς Αὐτῷ προσομιλῶν, θεοειδὴς γίνεται.

4. Τοιοῦτος δὲ γενόμενος, τὰ πρέποντα παρ' Αὐτοῦ αἰτεῖ, καὶ τῆς δεήσεως αὐτοῦ οὐ διαμαρτάνει ποτέ.

5. Διὰ τοῦτο οὖν ὁ Ἀπόστολος ἀδιαλείπτως προσεύχεσθαι κελεύει, ἵνα τὸν νοῦν συνεχῶς τῷ Θεῷ συνάπτοντες, κατὰ μικρὸν ἀποῤῥήξωμεν τῆς τῶν ὑλικῶν προσπαθείας.

Ἐ ρ ώ τ η σ ι ς

6. Καὶ πῶς ὁ νοῦς δύναται ἀδιαλείπτως προσεύχεσθαι ; Καὶ γὰρ ψάλλοντες,

---

1) «Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις» (Ἐφεσ. ϛ΄ 12).

2) «Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι αὐτοὺς καὶ μὴ ἐκκακεῖν» (Λουκ. ιη 1).

καὶ ἀναγινώσκοντες, καὶ συντυγχάνοντες, καὶ διακονοῦντες, εἰς πολλὰ αὐτὸν περισπῶμεν νοήματά τε καὶ θεωρήματα.

Ἀπόκρισις

7. Οὐδὲν τῶν ἀδυνάτων ἡ θεία Γραφὴ προστάσσει, ἐπεὶ καὶ αὐτὸς ὁ Ἀπόστολος, καὶ ἔψαλλε, καὶ ἀνεγίνωσκε, καὶ ἐδίδασκε καὶ διηκόνει, καὶ ἔπασχε διωκόμενος, καὶ ἀδιαλείπτως προσηύχετο.

8. Ἀδιάλειπτος γάρ ἐστι προσευχή, τὸ τὸν νοῦν ἔχειν ἐν εὐλαβείᾳ πολλῇ, καὶ πόθῳ προσκείμενον τῷ Θεῷ, καὶ τῆς ἐλπίδος Αὐτοῦ ἀεὶ ἀποκρέμασθαι, καὶ εἰς Αὐτὸν θαῤῥεῖν ἐν πᾶσι τοῖς ἔργοις, καὶ τοῖς συμβαίνουσιν οὕτω διακείμενος ὡς ὁ Ἀπόστολος ἔλεγε «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, θλῖψις; ἢ στενοχωρία; ἢ λιμός, ἢ μάχαιρα;» καὶ μετ' ὀλίγα· «πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε Ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν».

9. Οὕτως οὖν ὁ Ἀπόστολος διακείμενος, ἀδιαλείπτως προσηύχετο, ἐν πᾶσι γὰρ τοῖς τε ἔργοις, ὡς εἴρηται, καὶ τοῖς συμβαίνουσιν αὐτῷ, τῆς ἐλπίδος τοῦ Θεοῦ ἀπεκρέματο· διὰ τοῦτο ταῖς θλίψεσιν ἀεὶ ἔχαιρον πάντες οἱ Ἅγιοι, ἵνα εἰς ἕξιν ἔλθωσι τῆς ἐλπίδος.

10. Τὴν τῆς προσευχῆς ἀκράτητον κατάστασιν, ταύτην εἶναι λέγω τὸ ἔξω σαρκὸς καὶ κόσμου γενέσθαι τὸν νοῦν, καὶ ἄϋλον πάντη καὶ ἀνίδεον ἐν τῷ προσεύχεσθαι· ὁ οὖν ταύτην τὴν κατάστασιν ἀλώβητον διατηρῶν, οὗτος ὄντως ἀδιαλείπτως προσεύχεται.

Ἑρμηνεία

Η ΣΥΝΕΧΗΣ προσευχὴ ἀπομακρύνει ἀπὸ τὸν νοῦν ὅλα τὰ νοήματα καὶ πᾶσαν ἄλλην σκέψιν καὶ τοιουτοτρόπως ἐμφανίζει τὸν νοῦν ἐλεύθερον καὶ γυμνὸν ἀπὸ περισπασμοὺς ἐνώπιον τοῦ Θεοῦ· διότι τὰ νοήματα εἶναι αἱ νοητικαὶ εἰκόνες τῶν διαφόρων πραγμάτων εἰς τὴν διάνοιάν μας.

2. Τὰ πράγματα, ὡς γνωστόν, ἄλλα μὲν εἶναι αἰσθητά, ἄλλα πάλιν νοητά. Ἐφ' ὅσον λοιπὸν ὁ νοῦς διακινεῖται μέσα εἰς τὴν περιοχὴν τῶν πραγμάτων αὐτῶν, συλλαμβάνει αὐτὰ καὶ περιφέρει ἐν ἑαυτῷ τὰς νοητικάς των εἰκόνας.

3. Ἡ χάρις τῆς προσευχῆς φέρει εἰς ἐπαφὴν τὸν νοῦν μὲ τὸν Θεόν· ἀπὸ τὴν στιγμὴν δὲ ποὺ ἐπιτυγχάνεται ἡ ἐπαφὴ αὐτή, ἀπαλλάσσεται αὐτομάτως ὁ νοῦς τῶν νοητῶν αὐτῶν εἰκόνων, τῶν νοημάτων, καὶ τότε ἐλεύθερος καὶ γυμνὸς παντὸς ἐμποδίου ἐπικοινωνεῖ μετὰ τοῦ Θεοῦ καὶ καθίσταται θεοειδὴς (δηλαδὴ Θεὸς κατὰ χάριν καὶ μέθεξιν).

4. Ἐφ' ὅσον δὲ καταστῇ τοιοῦτος, ζητεῖ πλέον παρ' Αὐτοῦ, τοῦ Θεοῦ, αὐτὰ ποὺ εἶναι ἀπαραίτητα καὶ πρέποντα διὰ τὴν ψυχήν, καὶ οὕτω ποτὲ δὲν σφάλλει εἰς τὰ αἰτήματά του, πραγματοποιουμένης πάντοτε ὑπὸ τοῦ Θεοῦ τῆς παρακλήσεώς του.

5. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ Ἀπόστολος Παῦλος μᾶς διατάσσει νὰ προσευχώμεθα ἀδιαλείπτως (1), διὰ νὰ ἐπιτύχωμεν διαρ-

1) «Ἀδιαλείπτως προσεύχεσθε...» (Α' Θεσ. ε' 17).

κῆ συνάφειαν τοῦ νοός μας μετὰ τοῦ Θεοῦ, καὶ οὕτω, ὀλίγον κατ' ὀλίγον, νὰ ἀποκοπῶμεν ἀπὸ κάθε προσπάθειαν, ἀποβλέπουσαν εἰς ὑλικὸν σκοπόν.

Ἐρώτησις

6. Καὶ πῶς ὁ νοῦς δύναται νὰ προσεύχεται συνεχῶς καὶ νὰ ἀφοσιώνεται τελείως εἰς τὸ ἔργον τῆς προσευχῆς, ἐφ' ὅσον ὅταν ψάλλωμεν, ἢ ἀναγινώσκωμεν, ἢ συνομιλῶμεν, ἤ, ὁπωσδήποτε, εἴμεθα ἀπησχολημένοι εἰς ἕνα διακόνημα, τότε ἡ νοητικὴ ἐνέργεια, ὁ νοῦς, διαμοιράζεται εἰς πολλὰ νοήματα καὶ θεωρήματα;

Ἀπόκρισις

7. Ἡ Ἁγία Γραφὴ τίποτε τὸ ἀδύνατον δὲν προστάσσει, ἐφ' ὅσον καὶ ὁ ἴδιος ὁ Ἀπόστολος Παῦλος καὶ ἔψαλλε καὶ ἐδιάβαζε, καὶ ἐδίδασκε καὶ διακονοῦσε καὶ ὑπέφερεν ἀπὸ τοὺς διωγμοὺς καὶ ὅμως προσηύχετο συνεχῶς καὶ ἀδιαλείπτως.

8. Διότι ἀδιάλειπτος προσευχὴ εἶναι τὸ νὰ ἔχωμεν πάντοτε τὸν νοῦν μας προσηλωμένον μὲ πολλὴν εὐλάβειαν καὶ πόθον, κοντὰ εἰς τὸν Θεόν· νὰ ἐξαρτᾶται πάντοτε ὁ ἄνθρωπος ἀπὸ τὴν πρὸς τὸν Θεὸν ἐλπίδα καὶ νὰ στηρίζῃ τὸ θάρρος του, δι' ὅλα του τὰ ἔργα εἰς Αὐτόν. Τότε ὁ ἄνθρωπος αὐτὸς πράγματι ἀδιαλείπτως προσεύχεται. Ἐπιστέγασμα τῆς τοιαύτης ἀδιαλείπτου προσευχῆς εἶναι νὰ ἀντιμετωπίζῃ ὅλα τὰ συμβαίνοντα μὲ τὴν ψυχικὴν διάθεσιν τοῦ Ἀποστόλου Παύλου, ὅστις εἰς ὅλας τὰς περιστάσεις ἔλεγε· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα;» (Ρωμ. η΄ 35). Καὶ μετ' ὀλίγον διακηρύσσει τὴν ὑπέροχον διαβεβαίωσιν· «Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε Ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν» (αὐτόθι, 38—39).

9. Μὲ αὐτὴν λοιπὸν τὴν ψυχικὴν διάθεσιν ὁ Ἀπόστολος Παῦλος προσηύχετο συνεχῶς καὶ ἀδιαλείπτως· διότι εἰς ὅλα του τὰ ἔργα, καὶ εἰς ὅλα, ὅσα συνέβαιναν εἰς αὐτόν, εἶχεν ἐξαρτήσει τὸν ἑαυτόν του ἀπὸ τὴν ἐλπίδα πρὸς τὸν Θεόν. Δι' αὐτὸ καὶ ὅλοι οἱ Ἅγιοι ἔχαιρον πάντοτε εἰς τὰς θλίψεις ποὺ συνέβαινον εἰς αὐτούς, διὰ νὰ συνηθίσουν νὰ ἐλπίζουν διαρκῶς εἰς τὸν Θεόν.

10. Ἔχω λοιπὸν τὴν γνώμην, ὅτι αὐτὴ εἶναι ἡ ἀσυγκράτητος καὶ καθαρὰ κατάστασις τῆς προσευχῆς· νὰ κατορθώσῃ δηλαδὴ ὁ νοῦς νὰ εὑρεθῇ ἔξω ἀπὸ τὴν σάρκα καὶ τὸν κόσμον καὶ νὰ προσεύχεται τελείως ἀπηλλαγμένος ἀπὸ τὸ βάρος τῆς ὕλης καὶ τὰ σχήματα καὶ τὰς μορφὰς τοῦ παρόντος κόσμου. Αὐτὸς λοιπὸν ποὺ θὰ κατορθώσῃ νὰ διατηρήσῃ ἀκεραίαν καὶ καθαρὰν αὐτὴν τὴν κατάστασιν τῆς ψυχῆς, αὐτὸς πράγματι προσεύχεται ἀδιαλείπτως.

ϛ'. Ἐν τῷ Γεροντικῷ.

ΗΡΩΤΗΣΕΝ ἀδελφὸς Γέροντα λέγων· διατί, ὅτε ἐξέρχομαι εἰς ἔργον, ῥαθυμῶ περὶ τῆς ψυχῆς μου; Καὶ ἀπεκρίθη αὐτῷ ὁ Γέρων· οὐ θέλεις πληρῶσαι τὸ γεγραμμένον· λέγει γάρ· «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις Αὐτοῦ ἐν τῷ στόματί μου»· Ἐάν τε οὖν ἔσω, ἐάν τε ἔξω ᾖς, μὴ ἀποστῇς εὐλογῶν τὸν Θεόν, οὐ στόματι μόνον, ἀλλὰ καὶ καρδίᾳ, καὶ οὐ μή σου ῥαθυμία κατακυριεύσῃ ποτέ.

2. Ἔλεγον περί τινος τῶν Γερόντων, ὅτι ἦν μέγας πονικός· ποτὲ οὖν, ὡς ἐποίει τὴν σύναξιν αὐτοῦ, παρέβαλέ τις αὐτῷ τῶν Γερόντων, καὶ ἔξωθεν ὤν, ἤκουσεν αὐτοῦ μαχομένου ἔνδοθεν μετὰ τῶν οἰκείων λογισμῶν καὶ λέγοντος· ἕως πότε δι' ἕνα λόγον ὅλα ἐκεῖνα ἀπῆλθον;

3. Ὁ δὲ ὡς ἤκουσεν, ἐνόμισεν ὅτι μετὰ ἄλλου τινὸς μάχεται, καὶ ἔκρουσεν, ὥστε εἰσελθεῖν καὶ εἰρηνεῦσαι αὐτούς. Εἰσελθὼν οὖν καὶ εὑρὼν μόνον τὸν Γέροντα, εἶπεν αὐτῷ· μετά τινος ἐμάχου, Ἀββᾶ; ἦν γὰρ ἔχων πρὸς αὐτὸν παῤῥησίαν. Ὁ δὲ εἶπε· μετὰ τοῦ λογισμοῦ μου, ὅτι δεκατέσσαρας βίβλους οἶδα ἀπὸ στήθους, καὶ ἕνα λόγον ἀκούσας ἔξω, ὡς ἔστην βαλεῖν τὴν σύναξίν μου, ἤργησαν ὅλα ἐκεῖνα, καὶ ὁ εἷς λόγος ἐκεῖνος ἦλθεν ἔμπροσθέν μου, καὶ διὰ τοῦτο ἐμαχόμην τῷ λογισμῷ.

4. Καὶ ἡμεῖς, εἰ ἐπεμελούμεθα προσευχῆς, τοὺς ματαίους λόγους ἐφεύγομεν, καὶ τὸν νοῦν ἐνεκαλοῦμεν ῥεμβόμενον.

5. Εἶπεν ὁ Ἀββᾶς Μακάριος ὁ μέγας· ὀφείλει ἡ ψυχὴ τοὺς λογισμοὺς ἑαυτῆς ἐν ψαλμῳδίᾳ μετὰ κατανύξεως συνάγειν πάντοθεν ῥεμβομένους, ὡς ἴδια τέκνα, κἂν ὑπὸ τῆς ἁμαρτίας πάλιν σκορπίζωνται, καὶ προσδοκᾶν τὸν Κύριον ἐν πίστει βεβαίᾳ, ἵνα ἐλθὼν πρὸς αὐτήν, διδάξῃ αὐτὴν εὐχὴν ἀληθινὴν καὶ ἀπερίσπαστον, πρὸς τὴν Αὐτοῦ μόνον αἴτησιν.

Ἑρμηνεία


ΕΝΑΣ ἀδελφὸς ἠρώτησε Γέροντα:

—Διατί, ὅταν ἐξέρχωμαι εἰς ἐργασίαν, καταλαμβάνομαι ἀπὸ ὀκνηρίαν καὶ ἀδιαφορίαν διὰ τὰ ζητήματα τῆς ψυχῆς μου;

Ὁ Γέρων ἀπήντησε:

—Διότι δὲν θέλεις νὰ ἐφαρμόσῃς τὸ ἀναγραφόμενον εἰς τὴν Ἁγίαν Γραφήν· «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις Αὐτοῦ ἐν τῷ στόματί μου» (Ψαλμ. λγ' 2). Δι' αὐτὸ λοιπὸν εἴτε εὑρίσκεσαι μέσα εἰς τὸ κελλίον σου, εἴτε εὑρίσκεσαι ἔξω, μὴ σταματήσῃς ἀπὸ τοῦ νὰ εὐλογῇς τὸν Θεόν, ὄχι μόνον μὲ τὸ στόμα σου, ἀλλὰ καὶ μὲ τὴν καρδίαν σου, ὁπόταν οὐδέποτε θὰ σὲ κατακυριεύσῃ ραθυμία.

2. Δι' ἕνα Γέροντα διηγοῦντο ὅτι ἐκοπίαζεν ὑπερβολικὰ εἰς τοὺς ἀσκητικοὺς ἀγῶνας του. Κάποτε λοιπὸν ὁ Γέρων αὐτὸς ἐτέλει τὴν ἀκολουθίαν του καὶ τὸν ἐπεσκέφθη ἕνας ἄλλος Γέρων. Ἐνῷ δὲ ἀκόμη ἦτο ἀπ' ἔξω καὶ ἡτοιμάζετο νὰ κτυπήσῃ τὴν θύραν, τὸν ἤκουσε νὰ ἀγωνίζεται, ἀπὸ μέσα εἰς τὸ κελλί, μὲ τοὺς λογισμούς του καὶ νὰ λέγῃ μεγαλοφώνως· «Πόσον γρήγορα, δι' ἕνα μόνον λόγον, ὅλα ἐκεῖνα ἀπεχώρησαν καὶ ἔφυγαν;».



(Βλ. σελ. 96, 97, 104, 250, 252, 255, 259)

3. Μόλις ἤκουσεν αὐτὰ ὁ ἐπισκέπτης, ἐνόμισεν ὅτι ὁ Γέρων φιλονικεῖ μετ' ἄλλου τινὸς καὶ δι' αὐτὸ ἐκτύπησε, διὰ νὰ εἰσέλθῃ καὶ οὕτω νὰ εἰρηνεύσῃ τοὺς φιλονικοῦντας. Ὅταν λοιπὸν εἰσῆλθε καὶ εὗρε μόνον τὸν Γέροντα, εἶπε πρὸς αὐτόν:

—Μὲ ποῖον ἐμάλλωνες, Ἀββᾶ;

Τοῦ ὡμίλησε δὲ κατ' αὐτὸν τὸν τρόπον, διότι εἶχε τὸ θάρρος μαζί του. Ὁ Γέρων ἀπήντησεν:

—Μὲ τὸν λογισμόν μου, διότι ἔχω ἀποστηθίσει δεκατέσσαρα βιβλία, καὶ ὅμως ἕνας μόνον λόγος, τὸν ὁποῖον ἤκουσα ἀπ' ἔξω, ἐστάθη ἱκανὸς νὰ ἐκδιώξῃ ἀπὸ τὴν διάνοιάν μου ὅλα ὅσα εἶχα μάθει καὶ νὰ παραμείνῃ κυρίαρχος, μόλις ἤρχισα τὴν ἀκολουθίαν μου· δι' αὐτὸ ἐπολέμουν μὲ τὸν λογισμόν μου.

4. Καὶ ἡμεῖς, ἐὰν πράγματι ἐφροντίζαμεν διὰ τὴν προσευχήν, θὰ ἀπεφεύγαμεν νὰ προσέχωμεν εἰς τοὺς ματαίους λόγους, καὶ θὰ κατηγορούσαμεν τὸν νοῦν, εὐθὺς ὡς περιεπλανᾶτο ἀσκόπως ἐδῶ καὶ ἐκεῖ.

5. Ὁ Ἀββᾶς Μακάριος ὁ μέγας εἶπε πρὸς τοὺς μαθητάς του:

—Ἔχει ὑποχρέωσιν ἡ ψυχή, κατὰ τὴν ὥραν τῆς ψαλμῳδίας, νὰ συγκεντρώσῃ μετὰ κατανύξεως τοὺς λογισμούς της, ποὺ περιπλανῶνται ἀσκόπως ἐδῶ καὶ ἐκεῖ, ὅπως ἡ μητέρα συγκεντρώνει τὰ παιδιά της, ἔστω καὶ ἐὰν πάλιν σκορπίζωνται ἀπὸ τὴν ἁμαρτίαν· νὰ περιμένῃ δὲ μετ' ἀδιασείστου βεβαιότητος τὸν Κύριον, διὰ νὰ ἔλθῃ πρὸς αὐτὴν καὶ νὰ τὴν διδάξῃ τὴν ἀληθινὴν εὐχήν, ὥστε ἀπερίσπαστος ἀπὸ τοὺς διαφόρους λογισμοὺς νὰ ζητῇ μόνον τὸν Κύριον.

Ζ'. Τοῦ Ἁγίου Ἡσαΐου.

ΑΝΘΡΩΠΟΣ, ἐὰν μὴ καταλείψῃ πᾶσαν τὴν ἐργασίαν τοῦ κόσμου τούτου, οὐ δύναται λατρεῦσαι τῷ Θεῷ· ἡ γὰρ λατρεία τοῦ Θεοῦ ἐστι τὸ μὴ ἔχειν ἡμᾶς ἐν τῷ νοΐ ἀλλότριόν τι ἐν τῷ προσεύχεσθαι, καὶ ἀδολεσχεῖν Αὐτῷ ἤγουν ἡδονήν, ἢ κακίαν, ἢ μῖσος, ἢ ζῆλον πονηρόν, ἢ φαντασίαν τινὰ καὶ μέριμναν τῶν τοῦ αἰῶνος τούτου.

2. Ταῦτα γὰρ σκοτεινὰ τείχη εἰσί, περιέχοντα τὴν ταλαίπωρον ψυχήν, καὶ κωλύοντα αὐτὴν ἐν τῷ ἀέρι, καὶ μὴ ἐῶντα αὐτὴν ἀπαντῆσαι τῷ Θεῷ, καὶ ἐν τῷ κρυπτῷ εὐλογῆσαι Αὐτόν, καὶ προσεύξασθαι Αὐτῷ ἁγνῶς καὶ πεφωτισμένως, ἐν γλυκύτητι καρδίας καὶ ἀγάπης ἡδύτητι.

3. Ὅσον γὰρ ἡ ψυχὴ μεριμνᾷ τῶν ἔξωθεν, νεκροῦται ὁ νοῦς, καὶ λοιπὸν τὰ ἔνδοθεν πάθη πράττει τὰς ἐνεργείας αὐτῶν ἀδιαφόρως· εἰ δὲ ἀποστῇ ἡ ψυχὴ τῆς μερίμνης τῶν ἔξωθεν, τότε χαίρεται ὁ νοῦς καὶ ἵσταται.

4. Κατανοεῖ δὲ καὶ ἡ ψυχὴ τὰ ἔνδοθεν αὐτῆς πάθη διὰ τοῦ νοός· καὶ λοιπὸν ὁ νοῦς φροντίζει τῆς ψυχῆς ἕως οὗ ἀποῤῥίψῃ αὐτὰ ἐξ αὐτῆς, καὶ γεννήσῃ μετ' αὐτοῦ, καὶ ἐκθρέψῃ τὰ τέκνα αὐτῆς, καὶ τότε γίνονται ἀμφότεροι μία καρδία, καὶ ὑποτάσσεται ἡ ψυχὴ τῷ νοΐ, καθὼς ὑποτάσσεται ἡ γυνὴ τῷ ἀνδρί, καὶ γίνεται ὁ νοῦς αὐτῆς κεφαλή, καθὼς καὶ ὁ ἀνὴρ κεφαλή ἐστι τῆς γυναικός, κατὰ τὸν Ἀπόστολον, καὶ ἓν γενόμενοι ἐν Κυρίῳ οὐκέτι διαίρεσιν ἔχουσιν.

5. Οἱ οὖν ἀξιωθέντες εἰς τὸ τοιοῦτον μέτρον φθάσαι, οὗτοί εἰσιν οἱ εὐχόμενοι τῷ Θεῷ ἐν ἁγνείᾳ, οὗτοί εἰσιν οἱ φωτισθέντες ἐκ Θεοῦ, οὗτοι εἰσὶν οἱ ἀλη-

θεῖς προσκυνηταί, οὓς ζητεῖ ὁ Θεός, οὗτοί εἰσιν ἐν οἷς ἐνοικεῖ καὶ ἐμπεριπατεῖ ὁ Ὕψιστος, κατὰ τὸ γεγραμμένον.

6. Περὶ τούτων καὶ ὁ Σωτὴρ εἶπεν· «ὅτι ἐὰν συμφωνήσωσι δύο περὶ παντὸς οὗ ἐὰν αἰτήσωνται ἐν τῷ ὀνόματί μου, γενήσεται αὐτοῖς». Ὅταν γὰρ ἡ ψυχὴ τῷ νοΐ συμφωνήσῃ καὶ ἑνοποιηθῇ, ἐν τῷ Κυρίῳ λοιπὸν μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ· καθὼς καὶ ὁ Κύριος ἡμῶν ἐν τοῖς Εὐαγγελίοις ἔφη· «μείνατε ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν».

7. Τῷ οὖν μένοντι ἐν τῷ Θεῷ διὰ τῆς πράξεως, μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ διὰ τῆς θεωρίας· ἐὰν γὰρ ἡ ψυχὴ ἐλευθερωθῇ, καὶ παρέλθῃ τὰ κωλύοντα αὐτὴν ἐν τῷ ἀέρι, τότε μένει ἐν τῷ Θεῷ καὶ δέχεται ἐκ τοῦ Πνεύματος Αὐτοῦ, καθὼς εἶπεν ὁ Ἀπόστολος, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμα ἐστί, καὶ ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμα ἐστί, πᾶσα δὲ παράφυσις, πόρνη ὀνομάζεται.

8. Ἡ οὖν ψυχὴ ἡ κολληθεῖσα τῷ Κυρίῳ διὰ τοῦ Πνεύματος, ἐν Αὐτῷ ἀεὶ μένει, καὶ διδάσκεται παρ' Αὐτοῦ πῶς δεῖ Αὐτῷ εὔχεσθαι, καὶ προσκυνεῖ Αὐτῷ ἀδιαλείπτως, οὖσα Αὐτοῦ ἀδιάσπαστος, καὶ Αὐτὸς δὲ ὁ Κύριος μένει ἐν αὐτῇ ἀναπαύων αὐτήν, καὶ χορηγῶν καὶ ἀποκαλύπτων αὐτῇ τὰς τιμὰς καὶ χαρίσματα Αὐτοῦ τὰ ἀνεκλάλητα.

9. Ὁ οὖν τοιοῦτος ἄνθρωπος οὐκέτι ἁμαρτάνει, οὐδὲ ἅπτεται αὐτοῦ ὁ πονηρός, ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται, καθὼς γέγραπται, ὅτι ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει.

Ἑρμηνεία

+ ΕΑΝ ὁ ἄνθρωπος δὲν ἐγκαταλείψῃ πᾶσαν κοσμικὴν ἐργασίαν, δὲν εἶναι δυνατὸν νὰ λατρεύσῃ τὸν Θεόν· διότι πραγματικὴ λατρεία τοῦ Θεοῦ εἶναι τὸ νὰ μὴ ἔχωμεν, κατὰ τὴν ὥραν τῆς προσευχῆς, εἰς τὸν νοῦν μας τίποτε ξένον πρὸς τὸν σκοπὸν καὶ τὴν καθαρότητα τῆς προσευχῆς καὶ νὰ ἀπασχολούμεθα μὲ αὐτό· δηλαδὴ νὰ μὴ ἔχωμεν εἰς τὸν νοῦν μας οὔτε ἡδονήν, οὔτε κακίαν, οὔτε μῖσος, οὔτε φθόνον (ζῆλον πονηρόν), οὔτε φανταστικὴν εἰκόνα, οὔτε φροντίδα διὰ πράγματα ἐκ τοῦ αἰῶνος τούτου, τοῦ παρερχομένου.

2. Αὐτὰ ὅλα εἶναι σκοτεινὰ τείχη, ποὺ φυλακίζουν τὴν ταλαίπωρον ψυχὴν καὶ ἐμποδίζουν αὐτὴν εἰς τὸν ἀέρα καὶ δὲν τὴν ἀφήνουν νὰ συναντήσῃ τὸν Θεόν, ὥστε μυστικῶς καὶ κρυφίως νὰ εὐλογήσῃ Αὐτὸν καὶ νὰ προσευχηθῇ πρὸς Αὐτὸν μὲ ἁγνότητα, μὲ θεῖον φωτισμόν, μὲ γλυκεῖαν καρδίαν καὶ νὰ δοκιμάσῃ τὴν πνευματικὴν ἡδονὴν τῆς ἀγάπης καὶ τοῦ θείου ἔρωτος.

3. Διότι ὅσον ἡ ψυχὴ μεριμνᾷ καὶ φροντίζει διὰ τὰ σωματικὰ καὶ κοσμικὰ ζητήματα, νεκρώνεται ὁ νοῦς καί, ὡς ἐκ τούτου, τὰ ἐντὸς τοῦ ἀνθρώπου πάθη ἐνεργοῦν χωρὶς ἔλεγχον· ἐφ' ὅσον ὅμως ἡ ψυχὴ ἐγκαταλείψῃ τὴν πνευματοκτόνον μέριμναν τῶν ἐξωτερικῶν ὑποθέσεων, τότε χαίρεται ὁ νοῦς καὶ στέκει σταθερὸς καὶ ἀμετακίνητος (ἀνυψούμενος πρὸς τὸν Θεόν).

4. Καὶ ἡ ψυχὴ ἀντιλαμβάνεται πλήρως τὰ ἐντὸς αὐτῆς πάθη μὲ τὴν νοητικὴν δύναμιν τοῦ νοός· φροντίζει λοιπὸν ὁ νοῦς διὰ τὴν ψυχήν, μέχρις ὅτου ἡ ψυχὴ ἀπορρίψῃ τὰ πάθη ἐκτὸς αὐτῆς, καὶ μὲ τὴν γονιμοποιὸν δύναμιν τοῦ νοῦ γεννήσῃ καὶ ἐκθρέψῃ τὰ τέκνα αὐτῆς.

Καὶ τότε πλέον νοῦς καὶ ψυχὴ θὰ ἐναρμονισθοῦν, καθ' ὅσον ἀφορᾷ τὰς κινήσεις καὶ ἐπιθυμίας, καὶ γίνονται οἱ δύο μία καρδία, ὁπόταν ἡ ψυχὴ ὑποτάσσεται εἰς τὸν νοῦν, ὅπως ἡ γυναίκα ὑποτάσσεται εἰς τὸν ἄνδρα καὶ ὁ νοῦς ἀποβαίνει κεφαλὴ τῆς ψυχῆς, ὅπως καὶ ὁ ἄνδρας εἶναι ἡ κεφαλὴ τῆς γυναικός, ὅπως εἶπεν ὁ Ἀπόστολος Παῦλος (1). Εἰς τὴν περίπτωσιν δὲ αὐτήν, συνδεόμενοι ἐν Κυρίῳ, δὲν εἶναι πλέον διῃρημένοι, διϊστάμενοι καὶ ἀντιδικοῦντες.

5. Ὅσοι λοιπὸν ἠξιώθησαν νὰ φθάσουν εἰς τοιοῦτον ὑψηλὸν πνευματικὸν μέτρον, εἶναι αὐτοὶ ποὺ προσεύχονται εἰς τὸν Θεὸν μὲ ψυχικὴν ἁγνότητα, εἶναι αὐτοὶ ποὺ ἐφωτίσθησαν ὑπὸ τοῦ Θεοῦ, αὐτοὶ εἶναι οἱ ἀληθινοὶ προσκυνηταί, τοὺς ὁποίους ζητεῖ ὁ Θεός, αὐτοὶ εἶναι, τέλος, εἰς τὴν καρδίαν τῶν ὁποίων ὁ Ὕψιστος ἐνοικεῖ καὶ περιπατεῖ, ὅπως λέγει καὶ ἡ Ἁγία Γραφή (2).

6. Περὶ αὐτῶν εἶπε καὶ ὁ Σωτήρ, ὅτι ἐὰν εὑρεθοῦν δύο καὶ συμφωνήσουν περὶ παντὸς πράγματος, ποὺ ἤθελον ζητήσει παρὰ τοῦ Θεοῦ, ἐν τῷ ὀνόματί μου, θὰ πραγματοποιηθῇ τὸ αἴτημά των (3). Διότι ὅταν ἡ ψυχὴ συμφωνήσῃ μὲ τὸν νοῦν, καὶ γίνῃ ἕνα μαζί του, παραμένει πλέον ὁ νοῦς εἰς τὸν Κύριον καὶ ὁ Θεὸς εἰς αὐτὸν τὸν νοῦν, πραγματοποιουμένου οὕτω τοῦ λόγου, ποὺ εἶπεν ὁ Κύριος εἰς τὸ Ἱερὸν Εὐαγγέλιον· «Μείνατε εἰς ἐμὲ καὶ ἐγὼ θὰ μείνω ἐντὸς ὑμῶν» (4).

7. Εἰς αὐτὸν λοιπόν, ποὺ μένει πιστὸς εἰς τὸν Θεὸν διὰ τῆς ἐναρέτου πράξεως, καὶ ὁ Θεὸς παραμένει εἰς τὴν καρδίαν του διὰ τῆς θεωρίας (5). Διότι ἐὰν ἡ ψυχὴ ἀπελευθερωθῇ ἀπὸ τὰ δεσμὰ τοῦ κοσμικοῦ λογισμοῦ καὶ τῶν φροντίδων καὶ προσπεράσῃ τὰ ἐμπόδιά της εἰς τὸν ἀέρα, τότε μένει εἰς τὸν Θεὸν καὶ δέχεται τὰς ἀκτῖνας καὶ τὰς δωρεὰς τοῦ Πνεύματος Αὐτοῦ.

Τὸ ἀνωτέρω νόημα στηρίζεται καὶ εἰς τὸ Ἀποστολικὸν λόγιον, συμφώνως πρὸς τὸν ὁποῖον, ὁ προσκολλώμενος πρὸς τὴν πόρνην γίνεται ἕνα σῶμα μὲ αὐτήν, ἐνῷ ὁ προσκολλώμενος πρὸς τὸν Κύριον γίνεται ἕνα πνεῦμα μὲ Αὐτόν (6)· ὡς γνωστὸν δὲ πᾶσα σχέσις, συναπτομένη ἔξω τῶν ὅρων καὶ τῶν νόμων τῆς χριστιανικῆς διδασκαλίας, ὀνομάζεται πόρνη.

---

1) «Ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικὸς» (Ἐφεσ. ε' 23).

2) «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω. . .» (Β' Κορ. ς' 16).

3) «Πάλιν ἀμὴν λέγω ὑμῖν ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς» (Ματθ. ιη' 19).

4) «Μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν» (Ἰωαν. ιε' 4).

5) Ἐπὶ τοῦ προκειμένου θεωρία ἐννοεῖται ἡ πνευματικὴ καὶ ἄϋλος εἰκὼν τοῦ Θεοῦ, ἥτις σχηματίζεται εἰς τὴν διάνοιαν τοῦ μετ' ἐπιμονῆς καὶ δι' αὐστηρᾶς περισυλλογῆς σκεπτομένου τὸν Θεόν· ἢ ἡ ὅρασις τοῦ Θεοῦ διὰ τῶν ὀφθαλμῶν τῆς διανοίας.

6) «Οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμα ἐστιν ; ἔσονται γάρ, φησίν, οἱ δύο εἰς σάρκα μίαν· ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι» (Α' Κορ. ς' 16—17).

8. Ἡ ψυχὴ λοιπόν, ποὺ προσεκολλήθη εἰς τὸν Κύριον, διὰ τοῦ πνεύματος, μένει πάντοτε εἰς Αὐτὸν καὶ διδάσκεται παρ᾽ Αὐτοῦ πῶς πρέπει νὰ προσεύχεται εἰς Αὐτὸν καὶ τὸν προσκυνεῖ συνεχῶς καὶ ἀδιακόπως, παραμένουσα ἀδιασπάστως ἡνωμένη μετ᾽ Αὐτοῦ· ἀντιστοίχως καὶ ὁ ἴδιος ὁ Κύριος παραμένει εἰς τὴν ψυχὴν αὐτὴν ἀναπαύων αὐτήν, ἐπιχορηγῶν καὶ ἀποκαλύπτων εἰς αὐτὴν τὰς οὐρανίους τιμὰς καὶ τὰ ἀνεκλάλητα Αὐτοῦ χαρίσματα.

9. Αὐτὸς λοιπὸν ὁ ἄνθρωπος δὲν ἁμαρτάνει πλέον, ἀλλ᾽ οὔτε καὶ τὸν ἐγγίζει καθόλου ὁ πονηρός, διότι ἔχει ἀναγεννηθῇ ἀπὸ τὸν Θεόν, ὅπως λέγει καὶ ἡ Ἁγία Γραφή, ὅτι αὐτὸς ποὺ ἔχει γεννηθῇ ἀπὸ τὸν Θεὸν δὲν ἁμαρτάνει (1).

Η΄. Τοῦ Ἁγίου Μάρκου.

ΠΟΛΛΟΙ μέν εἰσι προσευχῆς τρόποι, ἕτερος ἑτέρου διαφορώτερος· ὅμως οὔτε εἷς τρόπος προσευχῆς ἐπιβλαβὴς τυγχάνει, εἰ μή τι ἂν οὐκ ἔστιν εὐχή, ἀλλ᾽ ἐργασία σατανική.

2. Τυφλός ἐστι κράζων καὶ λέγων· Υἱὲ Δαβίδ, ἐλέησόν με, ὁ προσευχόμενος σωματικῶς, καὶ μὴ ἔχων γνῶσιν πνευματικήν· ὁ ποτὲ τυφλὸς ἀναβλέψας καὶ ἰδὼν τὸν Κύριον, οὐκέτι Υἱὸν Δαβίδ, ἀλλ᾽ Υἱὸν Θεοῦ ὁμολογήσας προσεκύνησεν· ἐν καιρῷ μνήμης Θεοῦ πολυπλασίασον δέησιν, ἵνα ὅταν ἐπιλάθῃ, ὁ Κύριος ὑπομνήσῃ σοι.

3. Οὐκ ἔστι τελεία προσευχή, χωρὶς νοητῆς ἐπικλήσεως· ἀπερισπάστως εὐχόμενος ἐννοίας, ἐπακούει ὁ Κύριος.

4. Νοῦς ἀπερισπάστως εὐχόμενος, θλίβει καρδίαν, «καρδίαν δὲ συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει». Προσευχὴ ἄῤῥεμβος, σημεῖον φιλοθεΐας τῷ παραμένοντι, ἀμέλεια δὲ αὐτῆς καὶ ῥεμβασμός, φιληδονίας τεκμήριον.

5. Ὁ ἀθλίπτως ἀγρυπνῶν, καὶ μακροθυμῶν καὶ προσευχόμενος, Πνεύματος Ἁγίου ἐναργῶς μέτοχος τυγχάνει, ὁ δὲ θλιβόμενος ἐν τούτοις καὶ θελήματι ὑπομένων, ταχέως καὶ οὗτος τυγχάνει τῆς ἀντιλήψεως.

6. Εἴποτε λάβῃς καθαρᾶς προσευχῆς καθαρὸν τόπον, τὴν γνῶσιν τῶν πραγμάτων, ἀναδιδομένην παρὰ τῶν ἐχθρῶν, μὴ καταδέχου, ἵνα μὴ τὸ μεῖζον ἀπολέσῃς· κρεῖσσον γὰρ τοῖς τῆς προσευχῆς βέλεσι κατατοξεύειν αὐτόν, κάτω που συγκεκλεισμένον, ἢ προσομιλεῖν αὐτῷ τὰ σκῦλα προσφέροντι, καὶ ἀποσπᾶν ἡμᾶς τῆς κατ᾽ αὐτοῦ δεήσεως μηχανωμένῳ.

7. Ἡ γὰρ τῶν πραγμάτων γνῶσις ἐν καιρῷ πειρασμοῦ καὶ ἀκηδίας ὠφελεῖ τὸν ἄνθρωπον, ἐν καιρῷ δὲ καθαρᾶς προσευχῆς καταβλάπτειν εἴωθεν.

Ἑρμηνεία

ΠΟΛΛΟΙ τρόποι προσευχῆς ὑπάρχουν, ποὺ διαφέρουν μεταξύ των· ὅμως οὔτε ἕνας τρόπος προσευχῆς ὑπάρχει, ποὺ νὰ βλάπτῃ τὸν προσευχόμενον. Ἐκτὸς ἐὰν ὁ τρόπος αὐτὸς δὲν εἶναι προσευχή, ἀλλ᾽ ἐργασία σατανική.

2. Ἐκεῖνος ποὺ προσεύχεται διὰ τοῦ ἀναλόγου σωματικοῦ σχή-

1) «Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ· ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται» (Α΄ Ἰωάν. γ΄ 9).

ματος, χωρὶς τὴν ἐσωτερικὴν πνευματικὴν γνῶσιν, ὁμοιάζει μὲ τὸν τυφλὸν τοῦ Εὐαγγελίου, ποὺ ἔκραζε καὶ ἔλεγεν· «Υἱὲ Δαβίδ, ἐλέησόν με» (Μάρκ. ι' 48, Λουκ. ιη' 38—39). Ὁ τέως ὅμως τυφλός, ὅταν ἀνέβλεψε καὶ ἐγνώρισε τὸν Κύριον τὸν ὡμολόγησε πλέον Υἱὸν Θεοῦ, χωρὶς νὰ τὸν ὀνομάζῃ Υἱὸν Δαβίδ, καὶ τὸν προσεκύνησεν (1). Ὅταν εὑρίσκεσαι ἀπορροφημένος ἀπὸ τὴν ἔντονον μνήμην τοῦ Θεοῦ, νὰ πολλαπλασιάζῃς τὴν πρὸς Αὐτὸν δέησίν σου, διὰ νὰ σοῦ ὑπενθυμίζῃ συνεχῶς καὶ ὁ Κύριος τὴν θείαν Αὐτοῦ παρουσίαν, ἐὰν τὸν ξεχάσῃς ἐπ' ὀλίγον (2).

3. Δὲν εἶναι δυνατὸν νὰ ὑπάρξῃ τελεία προσευχή, ἐφ' ὅσον ὁ νοῦς μὲ τὸν ἰδικόν του τρόπον δὲν ἐπικαλεῖται τὸ Θεῖον ὄνομα. Ὅταν ὁ νοῦς προσεύχεται, μακρὰν παντὸς γηΐνου περισπασμοῦ, τότε καὶ ὁ Θεὸς προσέχει εἰς τὴν προσευχὴν αὐτήν.

4. Νοῦς ὁ ὁποῖος εὔχεται πρὸς τὸν Θεὸν ἀπηλλαγμένος πάσης γηΐνου ἐνασχολήσεως, συντρίβει τὴν καρδίαν (3), «καρδίαν δὲ συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει». Προσευχὴ ἀδιατάρακτος ἀπὸ ἀσκόπους περιπλανήσεις τοῦ νοῦ, εἶναι ἀπόδειξις φιλοθεΐας διὰ τὸν παραμένοντα εἰς αὐτήν· ἀπ' ἐναντίας, ἀμέλεια κατὰ τὴν προσευχήν, καὶ ἄσκοπος περιπλάνησις εἰς ἐπιγείους σκέψεις, εἶναι ἀπόδειξις φιληδονίας.

5. Ἐκεῖνος ποὺ ἔφθασεν εἰς τὸ σημεῖον νὰ ἀγρυπνῇ, νὰ μακροθυμῇ καὶ νὰ προσεύχεται εὐχαρίστως, χωρὶς στενοχωρίαν, εἶναι ὁλοφάνερα μέτοχος τοῦ Ἁγίου Πνεύματος· ἀλλὰ καὶ ἐκεῖνος, ποὺ στενοχωρεῖται διὰ νὰ τὰ ἐπιτύχῃ, ἀγωνιζόμενος πρὸς τὰ ἐμπόδια καὶ τὰς δυσκολίας τῆς ἀνθρωπίνης ἀδυναμίας, καὶ ὑπομένων, μὲ τὴν θέλησίν του, τὰς ἐξ αἰτίας τῆς ἐπιμόνου προσπαθείας θλίψεις, γρήγορα καὶ αὐτὸς θὰ τύχῃ τῆς φροντίδος καὶ ἀντιλήψεως τοῦ Θεοῦ.

---

1) «Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτὸν εἶπεν αὐτῷ· σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ; Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε· καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· καὶ ἑώρακας αὐτὸν καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. Ὁ δὲ ἔφη· πιστεύω, Κύριε· καὶ προσεκύνησεν αὐτῷ» (Ἰωάν. θ' 35—38). Σημείωσαι ὅτι ἀξία ἰδιαιτέρας προσοχῆς τυγχάνει ἡ βαθυτάτη καὶ ἀξιόλογος διάκρισις ἡ γενομένη ἐνταῦθα μεταξὺ σωματικῆς καὶ πνευματικῆς προσευχῆς. Ἡ διάκρισις αὐτὴ καθίσταται σαφὴς μὲ τὸ παράδειγμα τοῦ τυφλοῦ. Ὁ τυφλὸς προσεύχεται σωματικῶς δι' ὑλικὰς ἀνάγκας ἐκ στιγμιαίας ἀφορμῆς, καὶ χωρὶς νὰ ἔχῃ περὶ τοῦ Σωτῆρος τὴν ὑψηλὴν πνευματικὴν γνῶσιν· τυχὼν ὅμως τοῦ ποθουμένου καὶ γνωρίσας τὸν Κύριον, οὐχὶ πλέον ὡς υἱὸν (ἀπόγονον) τοῦ Δαβὶδ κράζει Αὐτόν, ἀλλ' ὡς Υἱὸν τοῦ Θεοῦ προσκυνεῖ· οὐχὶ δηλαδὴ σωματικῶς ἀλλὰ πνευματικῶς πλέον προσεύχεται.

2) Δὲν πρόκειται διὰ τὴν ἐξ ἀπιστίας ἢ ἀδιαφορίας λησμοσύνην τοῦ Θεοῦ, ἀλλὰ περὶ μιᾶς παροδικῆς καὶ φευγαλέας χαλαρώσεως τῆς ἐντατικῆς καὶ συνεχοῦς προσηλώσεως πρὸς τὸν Θεόν, τῆς ἀδιαλείπτου προσευχῆς.

3) Νοῦς ἐννοεῖται ἡ ἐν τῷ ἀνθρώπῳ κυρίαρχος νοητικὴ δύναμις, ἥτις καὶ μόνον συνδέει τὸν ἄνθρωπον μὲ τὸν Θεόν. Ὡς τοιαύτη ὅμως πρέπει νὰ εἶναι ἀπηλλαγμένη πάσης ὑλικῆς αἰσθήσεως, παντὸς συναισθηματισμοῦ, ὧν κέντρον θεωρεῖται ἡ καρδία.

6. Ἐὰν κάποτε φθάσῃς εἰς τὸ μέτρον καθαρᾶς προσευχῆς, νὰ μὴ ἀπασχοληθῇς μὲ τὴν γνῶσιν τῶν πραγμάτων, ποὺ ὑποβάλλει ὁ ἐχθρός, διὰ νὰ μὴ χάσῃς τὸ μεγαλύτερον κέρδος· διότι εἶναι προτιμότερον νὰ κατατοξεύωμεν αὐτὸν μὲ τὰ βέλη τῆς προσευχῆς, ὅταν κάπου κάτω ἔχει κλεισθῆ ἀσφαλῶς, παρὰ νὰ ἐρχώμεθα εἰς ἐπικοινωνίαν μαζί του, ὑπὸ τὸ πρόσχημα προσφορᾶς λαφύρων πρὸς ἡμᾶς· αὐτὸ εἶναι μία παγίδα του νὰ μᾶς ἀποσπᾷ ἀπὸ τὴν δέησιν πρὸς τὸν Θεόν, ποὺ στρέφεται ἐναντίον του.

7. Διότι ἡ ἐνασχόλησις μὲ τὴν γνῶσιν τῶν πραγμάτων ὠφελεῖ τὸν ἄνθρωπον εἰς στιγμὰς πειρασμοῦ καὶ πνευματικῆς καταπτώσεως, συνήθως ὅμως τὸν βλάπτει σημαντικῶς κατὰ τὴν ὥραν τῆς καθαρᾶς προσευχῆς (1).

θ΄. Τοῦ Ἁγίου Ἰσαάκ.

ΕΙ ἐπιμελῇ κτήσασθαι καθαρὰν προσευχήν, μάκρυνον σεαυτὸν ἀπὸ τῆς θέας τοῦ κόσμου, καὶ ἔκκοψον τὰς συντυχίας, καὶ μὴ θέλε ὑποδέξασθαι εἰς τὸ κελλίον σου ἐν συνηθείᾳ φίλους, μηδὲ ἐν προσχήματι χρηστότητος, ἀλλὰ μόνους τοὺς σοὶ ὁμοτρόπους καὶ ὁμογνώμονας καὶ συμμύστας.

2. Καὶ φοβοῦ τὴν φύρσιν τῆς ψυχικῆς ὁμιλίας, μετὰ τὸ ἐκκόψαι τὴν ἔξωθεν συντυχίαν· πέφυκε γὰρ ἡ ψυχὴ ταχέως μεταλλάττειν συντυχίαν ἐκ συντυχίας, ἐὰν μὴ ἐπιδειξώμεθα μικρὰν ἐπιμέλειαν.

3. Σύζευξον δὲ καὶ τὴν ἀνάγνωσιν τῇ προσευχῇ, ἥτις τὴν ἐξωτικὴν φύρσιν ἀναιροῦσα, ὕλη τῇ προσευχῇ γίνεται καὶ συνάγει τὸν νοῦν, καὶ οὕτω κατὰ μικρὸν ἐπιτεύξῃ τοῦ ποθουμένου.

Ἑρμηνεία

ΕΑΝ φροντίζῃς νὰ ἀποκτήσῃς τὴν καθαρὰν προσευχήν, νὰ ἀπομακρυνθῇς, ὅσον δύνασαι, ἀπὸ τὴν θέαν τοῦ κόσμου, νὰ κόψῃς τὴν ἐπικοινωνίαν μὲ ἀνθρώπους, καὶ νὰ ἀποφεύγῃς νὰ ὑποδέχεσαι εἰς τὸ κελλί σου τοὺς συνηθισμένους φίλους σου, οὔτε καὶ ὑπὸ τὸ πρόσχημα ὅτι θὰ τοὺς κάμῃς καλό, ἀλλὰ νὰ παραμένῃς μόνον μὲ αὐτούς, ποὺ εἶναι ὁμότροποι μαζί σου, ποὺ ἔχουν τὴν ἰδίαν γνώμην μὲ σὲ καὶ ποὺ ἐνασχολοῦνται, μαζὶ μὲ σέ, μὲ τὴν μυστικὴν προσευχήν.

2. Ὅταν κατορθώσῃς νὰ ἀποκόψῃς ἐξωτερικὰς συναναστροφάς, νὰ φοβῆσαι τὴν σύγχυσιν τῆς ψυχικῆς ὁμιλίας· διότι ἡ ψυχὴ ἐκ φύσεως

---

1) Καίτοι τὸ νόημα εἶναι σαφές, ἐν τούτοις ὑποσημειοῦμεν τὰ ἑξῆς: κατὰ τὴν ὥραν τῆς προσευχῆς ὁ νοῦς πρέπει νὰ εἶναι ἀπηλλαγμένος καὶ ἀπ᾽ αὐτὴν ἀκόμη τὴν πρὸς γνῶσιν ὁρμὴν καὶ κίνησιν, ἥτις συνεχῶς στροβιλίζεται ἐντὸς τῆς διανοίας, εἴτε ὑπὸ τὴν μορφὴν φιλοσοφικῆς διαθέσεως, εἴτε ὑπὸ τὴν μορφὴν συγκεκριμένης περί τι ἀντικείμενον ἐρευνητικῆς σπουδῆς. Κατὰ τὴν γνώμην τοῦ Ἁγίου Μάρκου ἡ εἰς ἄλλας στιγμὰς ὠφελοῦσα τοιαύτη διάθεσις καὶ γνωστικὴ κίνησις, κατὰ τὴν ὥραν τῆς προσευχῆς ἀποβαίνει παγὶς τοῦ διαβόλου διὰ νὰ ἀποσπᾷ τὸν προσευχόμενον.

εἶναι πλασμένη νὰ μεταλλάζῃ συζήτησιν ἀπὸ συζήτησιν (νὰ μεταπίπτῃ ἐκ τοῦ ἑνὸς θέματος εἰς τὸ ἄλλο), ἐὰν δὲν ἐπιδείξωμεν ὀλίγην φροντίδα (διὰ τὴν ἐπιτυχίαν τῆς καθαρᾶς προσευχῆς).

3) Φρόντισε δὲ νὰ συνδέσῃς μὲ τὴν προσευχὴν καὶ τὴν ψυχωφελῆ ἀνάγνωσιν, ἡ ὁποία καταστρέφει πάντα σύνδεσμον τῆς διανοίας μὲ τὸν ἐξωτερικὸν κόσμον καὶ τὰς πολυμόρφους σχέσεις του, μεταβάλλεται εἰς ὑλικὸν τῆς προσευχῆς καὶ συγκεντρώνει τὸν νοῦν· τοιουτοτρόπως, διὰ τῆς προσευχῆς καὶ τῆς ἀναγνώσεως, θὰ ἐπιτύχῃς ὀλίγον κατ' ὀλίγον τοῦ ποθουμένου.

Ι'. Τοῦ Ἁγίου Μαξίμου.

Ο,ΤΙΣ ἀγαπᾷ, τούτου καὶ ἀντέχεται πάντως· καὶ πάντων τῶν πρὸς τούτῳ ἐμποδιζόντων αὐτῷ καταφρονεῖ, ἵνα αὐτοῦ μὴ στερηθῇ· καὶ ὁ τὸν Θεὸν ἀγαπῶν, ἐπιμελεῖται καὶ καθαρᾶς προσευχῆς· καὶ πᾶν πάθος πρὸς τοῦτο ἐμποδίζον αὐτῷ, ἀποβάλλει ἐξ αὐτοῦ.

2. Ὁ γνησίως τὸν Θεὸν ἀγαπῶν, οὗτος καὶ ἀπερισπάστως προσεύξεται πάντως· καὶ ὁ ἀπερισπάστως προσευχόμενος, οὗτος γνησίως τὸν Θεὸν ἀγαπᾷ, οὐκ εὔχεται δὲ ἀπερισπάστως ὁ τινὶ τῶν ἐπιγείων ἔχων προσηλωμένον τὸν νοῦν.

3. Ὁ νοῦς πράγματι χρονίζων αἰσθητῷ, πάντως πάθος ἔχει πρὸς αὐτό, οἷον ἐπιθυμίας, ἢ λύπης, ἢ ὀργῆς, ἢ μνησικακίας, καὶ εἰ μὴ τοῦ πράγματος ἐκείνου καταφρονεῖ, τοῦ πάθους ἐλευθεροῦσθαι οὐ δύναται.

4. Ἔργον τῶν ἐντολῶν, ψιλὰ ποιεῖν τὰ τῶν πραγμάτων νοήματα· ἀναγνώσεως δὲ καὶ θεωρίας, ἄϋλον τὸν νοῦν ἀπεργάζεσθαι, ἐκ δὲ τούτου συμβαίνει τὸ ἀπερισπάστως προσεύχεσθαι.

5. Οὐκ ἀρκεῖ ἡ πρακτικὴ μέθοδος πρὸς τὸ τελείως τῶν παθῶν ἐλευθερωθῆναι, εἰμὴ καὶ διάφοροι αὐτὸν διαδέχονται πνευματικαὶ θεωρίαι· ἡ μὲν γὰρ ἀκρασίας καὶ μίσους τὸν νοῦν ἐλευθεροῖ, αἱ δὲ καὶ λήθης καὶ ἀγνοίας αὐτὸν ἀπαλλάττουσι, καὶ οὕτως δυνήσεται ὡς δεῖ προσεύξασθαι.

6. Τῆς καθαρᾶς προσευχῆς δύο εἰσὶν ἀκρότατοι καταστάσεις, ἡ μὲν τοῖς πρακτικοῖς, ἡ δὲ τοῖς θεωρητικοῖς ἐπισυμβαίνουσα· καὶ ἡ μὲν ἐκ φόβου Θεοῦ καὶ ἐλπίδος ἀγαθῆς τῇ ψυχῇ ἐγγίνεται, ἡ δὲ ἀπὸ θείου ἔρωτος καὶ ἀκροτάτης καθάρσεως.

7. Γνωρίσματα δὲ τοῦ μὲν πρώτου μέτρου, τὸ ἐντὸς συναγαγεῖν τὸν νοῦν ἐκ πάντων τῶν τοῦ κόσμου νοημάτων, καὶ ὡς αὐτοῦ παρισταμένου τῷ Θεῷ, ὥσπερ καὶ πάρεστι, ποιεῖσθαι τὰς προσευχὰς ἀπερισπάστως καὶ ἀνενοχλήτως.

8. Τοῦ δὲ δευτέρου, τὸ ἐν αὐτῇ τῇ ὁρμῇ τῆς προσευχῆς ἁρπαγῆναι τὸν νοῦν ὑπὸ τοῦ θείου καὶ ἀπείρου φωτός, καὶ μήτε ἑαυτοῦ μήτε τινὸς ἄλλου τῶν ὄντων τὸ σύνολον ἐπαισθάνεσθαι, εἰμὴ μόνου τοῦ διὰ τῆς ἁγίας ἀγάπης ἐν ἑαυτῷ τὴν τοιαύτην ἔλλαμψιν ἐνεργοῦντος· τότε δὲ καὶ τοὺς περὶ Θεοῦ λόγους κινούμενος, καθαρὰς καὶ τρανὰς τὰς περὶ Αὐτοῦ λαμβάνει ἐμφάσεις.

9. Δυνατὸς ἀνὴρ ὁ τῇ πράξει τὴν γνῶσιν συζεύξας· τῇ μὲν γάρ, τὴν ἐπιθυμίαν μαραίνει καὶ τὸν θυμὸν ἡμεροῖ, τῇ δὲ τὸν νοῦν πτεροῖ καὶ πρὸς Θεὸν ἐκδημεῖ.

10. Ὥσπερ τὸ σῶμα ἀποθνῇσκον πάντων χωρίζεται τῶν τοῦ κόσμου πραγμάτων, οὕτω καὶ ὁ νοῦς ἐν τῷ ἄκρως προσεύχεσθαι ἀποθνήσκων, πάντων χωρίζεται τῶν τοῦ κόσμου νοημάτων· ἐὰν γὰρ μὴ τὸν τοιοῦτον ἀποθάνῃ θάνατον, μετὰ Θεοῦ εὑρεθῆναι καὶ ζῆσαι ἀδύνατον.

11. Τοὺς μὲν ἄκρως προσευχομένους, πολεμοῦσιν οἱ δαίμονες, ἵνα τὰ νο-

Η ΨΥΧΗ εἶναι καθαρά, ὅταν ἐλευθερωθῇ ἀπὸ τὰ πάθη καὶ ἀκατάπαυστα εὐφραίνεναι ἀπὸ τὴν θείαν ἀγάπην. Ἀπάθεια εἶναι μία εἰρηνικὴ κατάστασις τῆς ψυχῆς, κατὰ τὴν ὁποίαν ἡ ψυχὴ με-

τὰ δυσκολίας κινεῖται πρὸς τὴν κακίαν. Ὅταν ὁ νοῦς ἐλευθερωθῇ τελείως ἀπὸ τὰ πάθη, τότε βαδίζει σταθερῶς καὶ χωρὶς ἐπιστροφὴν πρὸς τὴν ἐσωτερικὴν ψυχικὴν θεωρίαν τῶν ὄντων καὶ ἀνέρχεται πρὸς τὴν ὑπερφυσικὴν γνῶσιν τῆς Ἁγίας Τριάδος.

2. Σημεῖον ἄκρας ἀπαθείας εἶναι τὸ ἑξῆς· τὸ νὰ ἀναβαίνουν διαρκῶς εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου, καὶ ὅταν ἀκόμη τὸ σῶμα εἶναι ξυπνητόν, νοήματα καθαρά, ἀπηλλαγμένα ἀπὸ τὴν ὑλικότητα τῶν πραγμάτων· κατὰ τὸ διάστημα πάλιν τοῦ ὕπνου, ἐπειδὴ ὁ νοῦς ἔχει καθαρθῆ ἀπὸ τὰ νοήματα τῆς ἡμέρας, διασκευάζει αὐτὰ εἰς μίαν πνευματικὴν εἰκόνα καὶ κινεῖται εἰς τὴν ἐνόρασιν καὶ ἀπόλαυσιν αὐτῆς. Ὅταν ὅμως ὁ νοῦς, νικώμενος ἀπὸ πνευματικὴν νωθρότητα καὶ ὀκνηρίαν, καταστῇ ἀκάθαρτος, τότε τὰ μὲν νοήματα, ποὺ ἀντιστοιχοῦν εἰς τὰ διάφορα πράγματα τῆς φύσεως, τὰ φαντάζεται γυμνά, τὰ δὲ νοήματα, ποὺ ἀντιστοιχοῦν εἰς ἀνθρώπους, δεχόμενος, τὰ μετατρέπει εἰς αἰσχροὺς καὶ πονηροὺς λογισμούς.

3. Ὁ ἄνθρωπος, ποὺ κατέστη τέλειος διὰ τῆς ἀγάπης καὶ ἔφθασεν εἰς πλήρη ἀπάθειαν, δὲν ξεχωρίζει τὸ ἰδικόν του ἀπὸ τὸ ξένον, τὸν πιστὸν ἀπὸ τὸν ἄπιστον, τὸν δοῦλον ἀπὸ τὸν ἐλεύθερον, ἀρσενικὸν ἢ θηλυκόν. Ὁ ἄνθρωπος αὐτὸς ἔγινεν ἀνώτερος ἀπὸ τὴν τυραννίαν τῶν παθῶν καὶ παρατηρῶν μόνον τὴν φύσιν τῶν ἀνθρώπων, θεωρεῖ ὅλους ἴσους καὶ πρὸς ὅλους συμπεριφέρεται μὲ τὴν ἰδίαν διάθεσιν, διότι δι' αὐτὸν δὲν ὑπάρχει διάκρισις μεταξὺ Ἰουδαίου καὶ Ἕλληνος, οὔτε ἀρσενικοῦ καὶ θηλυκοῦ, οὔτε δούλου καὶ ἐλευθέρου· ἀλλὰ παντοῦ καὶ εἰς ὅλα βλέπει τὸν Χριστόν (Γαλ. γ΄ 28).

4. Ἄλλο πρᾶγμα εἶναι τὸ νὰ ἀπαλλαγῇς ἀπὸ τοὺς λογισμοὺς καὶ ἄλλο τὸ νὰ ἐλευθερωθῇς ἀπὸ τὰ πάθη. Πολλὰς φορὰς ἀπαλλάσσεται κανεὶς ἀπὸ τοὺς λογισμούς, ἐπειδὴ δὲν εἶναι παρόντα τὰ πράγματα ἐκεῖνα, πρὸς τὰ ὁποῖα ἔχει ἀποκτήσει τὰ πάθη· τότε τὰ πάθη ἔχουν ἀποκρυβῆ εἰς τὴν ψυχὴν καὶ ὁσάκις ἐμφανίζονται τὰ ἀντικείμενα, ποὺ τὰ προκαλοῦν, διαπιστοῦται καὶ ἡ παρουσία τῶν παθῶν. Πρέπει λοιπὸν ὁ νοῦς νὰ παρατηρῇ μετὰ προσοχῆς τὰ διάφορα πράγματα καὶ νὰ ἀντιληφθῇ πρὸς ποῖα ἐξ αὐτῶν τρέφει ἡ ψυχὴ πάθος.

5. Ἡ ψυχὴ τότε εἶναι τελεία, ὅταν ἡ παθητικὴ αὐτῆς δύναμις στρέφεται διαρκῶς πρὸς τὸν Θεόν, ὅταν δηλαδὴ τίποτε ἄλλο δὲν ποθεῖ παρὰ τὸν Θεὸν μόνον.

6. Τέλειος νοῦς εἶναι ἐκεῖνος, ὁ ὁποῖος ἔχει συλλάβει τὴν ὑπερφυσικὴν γνῶσιν τοῦ πέραν πάσης νοήσεως καὶ ὑπεράνω πάσης γνωστικῆς δυνατότητος ὑπάρχοντος Θεοῦ, καὶ ὅστις νοῦς μετ' ἐκπλήξεως παρετήρησε τὸ σύνολον τῶν δημιουργημάτων τοῦ Θεοῦ καὶ ἐπληροφορήθη σαφῶς καὶ διὰ τὴν περὶ αὐτὰ Πρόνοιαν καὶ κρίσιν τοῦ Θεοῦ· ὅλα δὲ αὐτὰ βεβαίως λέγω, ὅτι δύνανται νὰ συμβοῦν, ἐν τῷ μέτρῳ τῆς ἀνθρωπίνης δυνατότητος.

7. Ὅταν κατορθώσῃς καὶ δὲν εἴπῃς ἢ δὲν διαπράξῃς ἐν τῇ δια-

νοίᾳ σου αἰσχρόν, καὶ ὅταν δὲν κρατήσῃς κακίαν ἐναντίον ἐκείνου ποὺ σὲ ἐζημίωσε, ἢ σὲ ἐκακολόγησε, καὶ ὅταν κατὰ τὴν ὥραν τῆς προσευχῆς διατηρῇς πάντοτε τὸν νοῦν σου ἐλεύθερον ἀπὸ ὑλικὰ πράγματα καὶ καθαρὸν ἀπὸ ψυχοβλαβεῖς εἰκόνας, τότε μάθε, ὅτι ἔφθασες εἰς τὸ μέτρον τῆς ἀπαθείας καὶ τῆς τελείας ἀγάπης.

8. Μὴ νομίζῃς ὅτι ἔχεις τελείαν ἀπάθειαν, ἐφ' ὅσον δὲν ὑπάρχει ἐνώπιόν σου πρᾶγμα, δυνάμενον νὰ κινήσῃ πρὸς αὐτὸ πάθος τῆς ψυχῆς· ὅταν ὅμως ἐμφανισθῇ πρᾶγμα τι ἐνώπιόν σου καὶ παραμείνῃ ἡ ψυχή σου ἀπαθὴς καὶ πρὸς τὸ πρᾶγμα καὶ πρὸς τὴν μετέπειτα ἀνάμνησιν αὐτοῦ, τότε μάθε, ὅτι εὑρίσκεσαι εἰς τὴν περιοχὴν τῆς ἀπαθείας· ἀλλὰ καὶ τότε ἀκόμη, ὅταν δηλαδὴ οὐδὲν πάθος θὰ σοῦ διεγείρουν τὰ πράγματα, νὰ μὴ ἀδιαφορήσῃς καὶ ὑπερηφανευθῇς, διότι ὅταν μὲν ἡ ἀρετὴ διαρκῇ, ζωογονουμένη ἀπὸ τὸν ἀγῶνα τοῦ ἀνθρώπου, νεκρώνει τὰ πάθη, ὅταν πάλιν δὲν φροντίζῃ νὰ ἀσκῇ αὐτὴν ὁ ἄνθρωπος, τότε ἀναζωογονοῦνται τὰ πάθη.

9. Ἐκεῖνος ὁ ὁποῖος εἰς τὴν ζωήν του καὶ τὴν συμπεριφοράν του ἐκτελεῖ τὸν νόμον μόνον, ἀποτρέπει τὴν ἐκδήλωσιν κακῶν σκέψεων εἰς τὴν καρδίαν του, θυσιάζων τοιουτοτρόπως διὰ τὸν Θεὸν τὴν ἐνέργειαν τῶν ἀλόγων παθῶν. Ὁ ἄνθρωπος αὐτὸς δύναται νὰ ἀρκῆται καὶ εἰς αὐτὸν τὸν τρόπον τῆς ἠθικῆς δραστηριότητος διὰ τὴν σωτηρίαν του, χάριν τῆς πνευματικῆς νηπιότητος, τὴν ὁποίαν, διὰ τῆς τοιαύτης θυσίας, ἀπέκτησεν.

10. Ἐκεῖνος ὁ ὁποῖος κατευθύνεται ἀπὸ τὸν προφητικὸν λόγον, πέραν τῆς ἀποβολῆς τῆς ἐνεργείας τῶν παθῶν, ἀποθέτει καὶ τὰς βαθυτέρας τῆς ψυχῆς του σκέψεις, τὰς συμφωνίας αὐτοῦ πρὸς τὰς προσβολὰς τῶν λογισμῶν, ὥστε νὰ μὴ θεωρηθῇ, ὅτι μόνον σαρκικῶς ἀπέχει ἀπὸ τὴν κακίαν, ἐνῷ κρυφίως, διὰ τῆς ψυχῆς του, ἐνεργεῖ ἀφθόνως τὰ ἔργα τῆς κακίας.

11. Ἐκεῖνος, τέλος, ὁ ὁποῖος ἀσπάζεται εἰλικρινῶς καὶ γνησίως τὴν Εὐαγγελικὴν ζωήν, ἐξερρίζωσεν ἀπὸ μέσα του τὴν ἀρχὴν καὶ τὸ τέλος τῆς κακίας· ὁ ἄνθρωπος αὐτὸς προσεγγίζει ἀποτελεσματικῶς, δι' ἔργων καὶ λόγων, ὅλας τὰς ἀρετάς, προσφέρων, διὰ τῆς τοιαύτης ψυχικῆς του καταστάσεως, θυσίαν αἰνέσεως καὶ ἐξομολογήσεως εἰς τὸν Θεόν· ἀκόμη ὁ τοιοῦτος ἀπηλλάγη πάσης ἐπικτήτου ἁμαρτίας, προσγενομένης κατ' ἐνέργειαν τῶν παθῶν, καὶ ἀπηλευθερώθη ἀπὸ τῆς κατὰ νοῦν μάχης πρὸς τὰ πάθη, ἔχων ὡς μόνην διατρέφουσαν τὴν ψυχήν του ἀκόρεστον ἡδονὴν τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν.

12. Καρδία καθαρὰ εἶναι ἐκείνη, ποὺ παρουσιάζει εἰς τὸν Θεὸν τὴν μνήμην καθαράν, ἀπηλλαγμένην πάσης εἰκόνος καὶ ἐπὶ τῆς ὁποίας οὐδεμία μορφὴ ἔχει σχηματισθῇ, ἑτοίμην δὲ νὰ ἀποτυπώσῃ ἐν αὐτῇ τὰ σημεῖα τῆς παρουσίας τοῦ Θεοῦ, διὰ τῶν ὁποίων ἀποδεικνύεται ὁλοφάνερα ὁ χριστοφόρος νοῦς, τὸν ὁποῖον λαμβάνουσιν οἱ Ἅγιοι, συμφώνως πρὸς τὸ ἀποστολικὸν ρητόν· «ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν»

(Α' Κορ. β' 16). Ὁ νοῦς Χριστοῦ, τὸν ὁποῖον φέρουν οἱ Ἅγιοι, καὶ τὸν ὁποῖον δυνάμεθα καὶ ἡμεῖς νὰ ἀποκτήσωμεν, ἐμφανίζεται ἐν ἡμῖν οὐχὶ κατὰ στέρησιν τῆς ἐν ἡμῖν νοητικῆς δυνάμεως, οὔτε ὡς παράγων συμπληρωματικὸς τοῦ νοός μας, οὔτε ὡς ὑπεισερχόμενος ὑποστατικῶς (πραγματικῶς) εἰς τὸν ἡμέτερον νοῦν· ἀλλ' ἐμφανίζεται ὡς ἐξ ἰδίας φωτιστικῆς ποιότητος λαμπρύνων τὴν δύναμιν τοῦ νοός μας, καὶ φέρων αὐτὸν πρὸς Αὐτόν.

13. Κατὰ τὴν γνώμην μου, τὸ νὰ ἔχωμεν νοῦν Χριστοῦ σημαίνει τὸ νὰ σκεπτώμεθα ὅπως θέλει ὁ Χριστὸς καὶ πάντοτε νὰ σκεπτώμεθα τὸν Χριστόν.

14. Λεγόμεθα, ὅτι εἴμεθα σῶμα Χριστοῦ, σύμφωνα μὲ τὸ Ἀποστολικόν· «Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους» (Α' Κορ. ιβ' 27), ὄχι διότι στερούμεθα τὰ σώματά μας, καὶ διὰ τῆς στερήσεως αὐτῆς διαμορφοῦται ἐκεῖνο τὸ σῶμα, ἀλλ' οὔτε πάλιν ἐννοοῦμεν, ὅτι τὸ Δεσποτικὸν Σῶμα μεταβαίνει ὑποστατικῶς, κατὰ τὴν οὐσίαν, εἰς ἡμᾶς, ἢ ὅτι τεμαχίζεται εἰς μικρὰ μέλη καὶ οὕτω διανέμεται εἰς τοὺς εὐσεβεῖς· ἀλλ' ἐννοοῦμεν, ὅτι δυνάμεθα καὶ ἡμεῖς νὰ ἀποσείσωμεν τὴν φθορὰν τῆς ἁμαρτίας ἀπὸ τὸν ἑαυτόν μας, ὅπως ἡ ὁμοία μὲ τὴν ἀνθρωπίνην Σὰρξ τοῦ Κυρίου.

15. Ὅπως δηλαδὴ ἀκριβῶς ὁ Χριστὸς νοεῖται, ὅτι εἶναι ἀναμάρτητος, ὡς ἄνθρωπος κατὰ φύσιν, εἰς τὴν σάρκα καὶ τὴν ψυχήν, τοιουτοτρόπως καὶ ἡμεῖς, οἱ ὁποῖοι ἔχομεν πιστεύσει εἰς Αὐτόν, καὶ κατ' ἐλευθέραν θέλησιν ἐνεδύθημεν Αὐτόν, δυνάμεθα, μὲ τὴν δύναμίν Του καὶ τὴν Χάριν Του, νὰ εἴμεθα χωρὶς ἁμαρτίας, δηλαδὴ νὰ μὴ ἁμαρτάνωμεν.

Ζ'. Τοῦ Ἀββᾶ Ἰσαάκ.

ΠΡΟ τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν τῆς ταπεινώσεως, ἐὰν ἴδῃς σαυτόν, ὅτι ἀνεπαύθης ἐκ τῆς ὀχλήσεως τῶν παθῶν, μὴ πιστεύσῃς σαυτῷ· ἔνεδραν γάρ τινα ἐνεδρεύει σοι ὁ ἐχθρός, καὶ ἐκδέχου μετὰ τὴν ἀνάπαυσιν πολλὴν ταραχήν· ὅταν γὰρ διέρχῃ τὰ καταλύματα τῶν ἀρετῶν, οὐχ εὑρίσκεις ἀνάπαυσιν ἐκ τοῦ μόχθου σου, οὐδὲ ἐκ τῶν ἐπιβούλων ἄνεσιν, ἕως ἂν φθάσῃς τὸ κατάλυμα τῆς ταπεινώσεως.

2. Ἐν τῷ καιρῷ, ἐν ᾧ ἡ ταπείνωσις βασιλεύει ἐν τῇ ψυχῇ σου καὶ ἐν τῇ διαγωγῇ σου ὑποτάσσεται ἡ ψυχή σου, μετ' αὐτῆς ὑποταγήσεταί σοι τὰ πάντα, διότι γεννᾶται ἐν τῇ καρδίᾳ σου εἰρήνη ἐκ τοῦ Θεοῦ. Ὅτε δὲ σὺ ἔξωθεν τῆς ταπεινώσεως εἶ, οὐ μόνον ἐκ τῶν παθῶν, ἀλλὰ καὶ ἐκ τῶν συμβάσεων μέλλεις καταδιωχθῆναι· ἀληθῶς γὰρ εἰμὴ αὐτοὶ ἑκουσίως ταπεινωθῶμεν, οὐ παύεται ὁ Θεὸς ταπεινῶν ἡμᾶς· ἡ ἀληθινὴ ταπείνωσις, γέννημα τῶν πειρασμῶν.

3. Δύο τρόποι εἰσὶ τῆς σταυρώσεως· ὁ εἷς ἡ σταύρωσις τοῦ σώματος καὶ ὁ ἕτερος ἡ εἰς θεωρίαν ἄνοδος· καὶ ὁ μὲν πρῶτος, ἐκ τῆς τῶν παθῶν ἐλευθερίας, ὁ δὲ δεύτερος γίνεται ἐκ τῆς ἐνεργείας τῶν ἔργων τοῦ πνεύματος, ᾧ τινι ὁ νοῦς οὐχ ὑποτάσσεται, εἰ μὴ τὸ σῶμα πρότερον ὑποταγῇ τῷ νοΐ.

4. Ἡ βασιλεία τοῦ νοῦ, ἡ σταύρωσις ἐστὶ τοῦ σώματος· καὶ οὐχ ὑποτάσσεται ὁ νοῦς τῷ Θεῷ, εἰ μὴ ὑποταγῇ τὸ αὐτεξούσιον τῷ λογικῷ. Ὅστις ὑποτάξει

ἑαυτόν, ἤγουν τὸ αὐτεξούσιον, τῷ λογικῷ τῆς ψυχῆς μέρει, ἐγγύς ἐστιν εἰς τὸ ἐλθεῖν τοῦ ὑποταγῆναι αὐτῷ τὰ πάντα.

5. Ὁ γνοὺς ἑαυτόν, τὴν γνῶσιν τῶν πάντων ἔλαβε· τὸ γὰρ γινώσκειν ἑαυτόν, πλήρωμα τῆς γνώσεως τῶν πάντων ἐστί, καὶ ἐν τῇ ὑποταγῇ τῆς ψυχῆς αὐτοῦ ὑποτάσσεται αὐτῷ τὰ πάντα· ταῦτα δὲ δύσκολον ἐκδοῦναι τινὶ ἀρχαρίῳ ὄντι, καὶ νηπίῳ τὴν πνευματικὴν ἡλικίαν· «οὐαὶ» γάρ «σοι πόλις», φησίν, «ἧς ὁ βασιλεύς σου νεώτερος».

6. Ἡ κάθαρσις τοῦ σώματός ἐστιν ὁσιότης ἐκ τοῦ μολυσμοῦ τῆς σαρκός· ἡ δὲ τῆς ψυχῆς κάθαρσις, ἐλευθερία τῶν κρυπτῶν παθῶν τῶν ἐν τῇ διανοίᾳ συνισταμένων· ἤγουν ἄϋλος θεωρία ἡ ἐκτὸς τῶν σωματικῶν αἰσθήσεων γινομένη ἐν τῇ δυνάμει τοῦ πνεύματος, καὶ τὰ αἰσθητὰ πάντα περάσασα.

7. Κάθαρσιν μὲν σώματος καὶ ψυχῆς τὰ νεογνὰ βρέφη ἔχουσιν, ὡς τῶν παθῶν καθαρεύοντα· κάθαρσις δὲ νοὸς τοῖς τελείοις μόνοις παρὰ τοῦ πνεύματος δέδοται.

Ἑρμηνεία

ΠΡΙΝ νὰ εἰσέλθῃς εἰς τὴν πόλιν τῆς ταπεινώσεως, ἐὰν ἴδῃς τὸν ἑαυτόν σου, ὅτι ἀπηλλάγη ἀπὸ τὴν ἐνόχλησιν τῶν παθῶν, μὴ σιγουρευθῇς, διότι κάποιαν ἐνέδραν σοῦ ἔχει στήσει ὁ ἐχθρός· περίμενε, μετὰ ἀπὸ τὴν ἀνάπαυσιν, πολλὴν ταραχήν. Ἐφ' ὅσον περνᾷς ἕνα πρὸς ἕνα τὰ σκαλοπάτια τῶν ἀρετῶν, δὲν θὰ ἀναπαυθῇς ἀπὸ τὸν κόπον τῆς πνευματικῆς αὐτῆς ἀναβάσεως, ἀλλ' οὔτε καὶ θὰ σὲ ἀφήσουν νὰ ἀνασάνῃς οἱ φθονεροὶ ἐχθροί, μέχρις ὅτου φθάσῃς καὶ εἰσέλθῃς εἰς τὸν οἶκον τῆς ταπεινώσεως.

2. Κατὰ τὸ διάστημα, ποὺ βασιλεύει εἰς τὴν ψυχήν σου ἡ ταπείνωσις, καὶ ἡ ψυχή σου ὑποτάσσεται εἰς αὐτήν, τότε μαζὶ θὰ ὑποταχθοῦν εἰς σὲ καὶ ὅλα, διότι εἰς τὴν καρδίαν σου γεννᾶται ἐκ Θεοῦ ἡ εἰρήνη· ὁσάκις ὅμως εὑρίσκεσαι σὺ ἔξω ἀπὸ τὸν πνευματικὸν χῶρον τῆς ταπεινώσεως, ἀσφαλῶς θὰ καταδιωχθῇς, ὄχι μόνον ἀπὸ τὰ πάθη, ἀλλὰ καὶ ἀπὸ τυχαῖα περιστατικά· διότι πράγματι ἐφ' ὅσον δὲν ταπεινωθῶμεν οἱ ἴδιοι θεληματικῶς, δὲν θὰ σταματᾷ ὁ Θεὸς νὰ μᾶς ταπεινώνῃ καὶ χωρὶς νὰ θέλωμεν· ἡ ἀληθινὴ ταπείνωσις εἶναι γέννημα τῶν διαφόρων πειρασμῶν καὶ δοκιμασιῶν.

3. Ὑπάρχουν δύο τρόποι τῆς σταυρώσεως· ὁ ἕνας ἡ σταύρωσις τοῦ σώματος, καὶ ὁ ἄλλος ἡ ἄνοδος τῆς ψυχῆς εἰς κατάστασιν τοιαύτης καθαρότητος, ὥστε ὁ νοῦς νὰ ἐνορᾷ ἀΰλους εἰκόνας θείου μεγαλείου· καὶ ὁ μὲν πρῶτος τρόπος σταυρώσεως, δηλαδὴ τοῦ σώματος, εἶναι συνέπεια τῆς ἐλευθερώσεως ἐκ τῶν παθῶν, ὁ δὲ δεύτερος προέρχεται ἐκ τῆς ἐκτελέσεως τῶν ἔργων τοῦ πνεύματος. Εἰς οὐδένα δὲν ὑποτάσσεται ὁ νοῦς, ἐφ' ὅσον προηγουμένως δὲν ὑποταχθῇ τὸ σῶμα εἰς τὸν νοῦν.

4. Ἡ σταύρωσις τοῦ σώματος εἶναι ἡ βασιλεία τοῦ νοῦ ἐπὶ τοῦ ἀνθρώπου· ὁ δὲ νοῦς δὲν ὑποτάσσεται εἰς τὸν Θεόν, ἐὰν προηγουμένως δὲν ὑποταχθῇ τὸ αὐτεξούσιον εἰς τὸ λογικόν. Ὅποιος ὑποτάξῃ τὸν ἑαυτόν του, δηλαδὴ τὸ αὐτεξούσιον, εἰς τὸ λογικὸν μέρος τῆς ψυ-

χῆς του, ἐπλησίασεν εἰς τὸ σημεῖον νὰ ὑποταχθοῦν εἰς αὐτὸν τὰ πάντα.

5. Ἐκεῖνος ποὺ ἐγνώρισε τὸν ἑαυτόν του, ἐγνώρισε τὰ πάντα· διότι ἡ αὐτογνωσία εἶναι πλήρωμα τῆς γνώσεως ὅλων· ὅταν δὲ ὑποτάσσῃ τὴν ψυχήν του (εἰς τὸ θέλημα τοῦ Θεοῦ) τότε ὑποτάσσονται εἰς αὐτὸν τὰ πάντα. Αὐτὰ ὅμως εἶναι δύσκολον νὰ τὰ ἐμπιστευθῇ κανεὶς εἰς ἕνα ἀρχάριον καὶ νήπιον κατὰ τὴν πνευματικὴν ἡλικίαν, διότι, ὅπως λέγει τὸ ρητόν, «ἀλλοίμονον εἰς τὴν πόλιν, τῆς ὁποίας ὁ βασιλεὺς εἶναι νεώτερος» (Ἐκκλ. ι' 16).

6. Ἡ κάθαρσις τοῦ σώματος εἶναι ἐξαγνισμὸς ἀπὸ τὸν μολυσμὸν τῆς σαρκός· ἡ δὲ κάθαρσις τῆς ψυχῆς εἶναι ἐλευθερία ἀπὸ τὰ κρυπτὰ καὶ ἀφανῆ πάθη, ποὺ σχηματίζονται εἰς τὴν διάνοιαν· ἡ ἐλευθερία αὐτή, κατὰ τὴν οὐσίαν της, εἶναι ἐνόρασις ἀΰλων εἰκόνων θείου μεγαλείου, πραγματοποιουμένη πέραν καὶ ἐκτὸς τῶν σωματικῶν αἰσθήσεων, ἐνεργουμένη διὰ τῆς δυνάμεως τοῦ πνεύματος, ἡ ὁποία ἐξεπέρασεν ὅλα τὰ αἰσθητὰ πράγματα.

7. Κάθαρσιν σώματος καὶ ψυχῆς ἔχουν τὰ νεογέννητα βρέφη, διότι δὲν ἔχουν ἀκόμη μολυνθῆ ἀπὸ τὰ πάθη καὶ ὡς ἐκ τούτου καθαρεύουν· ἡ κάθαρσις ὅμως τοῦ νοὸς δίδεται ὑπὸ τοῦ πνεύματος εἰς μόνους τοὺς τελείους (1).



1) Καίτοι βεβαίως εἶναι δύσκολον νὰ συλλάβῃ κανεὶς τοὺς ὑψηλοὺς καὶ θεοπνεύστους στοχασμοὺς ἐναρέτου καὶ ἀσκητικοῦ Πατρός, ὡς ὁ Ἀββᾶς Ἰσαάκ, ἐν τούτοις δυνάμεθα νὰ ἐντοπίσωμεν κεντρικὰ τοὐλάχιστον σημεῖα αὐτῶν. Οὕτω διαγράφει τρία στάδια ἠθικῆς καὶ πνευματικῆς τελειώσεως· τὴν σωματικὴν κάθαρσιν, τὴν ψυχικὴν καὶ τὴν πνευματικήν, ἥτις ὁλοκληροῦται καὶ ἐπιστέφεται διὰ τῆς ὑψηλῆς θεωρίας. Προϋποθέσεις τῆς τοιαύτης ἀναβάσεως θεωρεῖ τὴν ταπείνωσιν καὶ τὴν αὐτογνωσίαν. Αἱ δύο, πάλιν, αὐταὶ προϋποθέσεις εἶναι συνέπειαι τῆς ὑποταγῆς ὅλων τῶν ἐκδηλώσεων τοῦ ἀνθρώπου εἰς τὸν πεφωτισμένον ὑπὸ θείας ἐλλάμψεως νοῦν. Δι' ὅλων αὐτῶν διαγράφεται ὁ κύκλος μιᾶς ἐπιπόνου, πλὴν ἀπαραιτήτου προσπαθείας, δι' ἧς ἀνάγεται ὁ ἄνθρωπος εἰς τὸ ὕψος τῆς Χάριτος. Ἄραγε ἡ τοιαύτη ἐνασχόλησις ὀφείλει νὰ εἶναι ἔργον καὶ μέλημα μόνον τῶν Μοναχῶν;



ΥΠΟΘΕΣΙΣ ΚΓ΄.

Πότε καὶ πῶς δεῖ Θεολογίας ἐφάπτεσθαι, καὶ τίς ὁ τῆς πνευματικῆς σοφίας λόγος· καὶ τίς ὁ τῆς γνώσεως, καὶ τί διαφέρει καὶ πόθεν ὁ νοῦς αὐτῶν ἀξιοῦται.

Πότε καὶ πῶς πρέπει νὰ ἐγγίζῃ κανεὶς πρὸς τὴν Θεολογίαν· ποῖος εἶναι ὁ λόγος τῆς πνευματικῆς σοφίας καὶ ποῖος ὁ λόγος τῆς γνώσεως· ποία ἡ μεταξύ των διαφορὰ καὶ πῶς ὁ νοῦς γίνεται ἄξιος αὐτῶν.

Α΄. Τοῦ Ἁγίου Διαδόχου.



ΠΝΕΥΜΑΤΙΚΟΣ λόγος τὴν νοερὰν αἴσθησιν πληροφορεῖ· ἐνεργείᾳ γὰρ ἀγάπης ἐκ τοῦ Θεοῦ φέρεται, διόπερ καὶ ἀβασανίστως ἡμῶν ὁ νοῦς διαμένει ἐν τοῖς τῆς Θεολογίας κινήμασιν· οὐ γὰρ πάσχει τότε πενίαν, τὴν μέριμναν φέρουσαν, ἐπειδὴ τοσοῦτον ταῖς θεωρίαις πλατύνεται, ὅσον τῆς ἀγάπης ἡ ἐνέργεια θέλει.

2. Καλὸν οὖν ἀεὶ πίστει περιμένειν, δι᾿ ἀγάπης ἐνεργουμένης, τὸν φωτισμὸν τοῦ λέγειν· οὐδὲν γὰρ πτωχότερον διανοίας ἐκτὸς Θεοῦ, φιλοσοφούσης τὰ τοῦ Θεοῦ, οὔτε ἀφώτιστον ὄντα δεῖ ἐπιβάλλειν τοῖς πνευματικοῖς θεωρήμασιν, οὔτε μὴ πλουσίως καταλαμπόμενον ὑπὸ τῆς χρηστότητος τοῦ Ἁγίου Πνεύματος ἐπὶ τὸ λέγειν ἔρχεσθαι.

3. Ὅπου μὲν γὰρ πενία, φέρει τὴν ἄγνοιαν, ὅπου δὲ πλοῦτος, οὐ συγχωρεῖ τὸ λέγειν· μεθύουσα γὰρ τότε ἡ ψυχὴ τῇ ἀγάπῃ τοῦ Θεοῦ, σιγώσῃ φωνῇ θέλει κατατρυφᾶν τῆς δόξης τοῦ Κυρίου· τὴν οὖν μεσότητα δεῖ ἐπιτηροῦντα τῆς ἐνεργείας, εἰς λόγους ἔρχεσθαι τοὺς θεηγόρους.

4. Τοῦτο μὲν γὰρ τὸ μέτρον, εἶδός τι λόγων ἐνδόξων τῇ ψυχῇ χαρίζεται, ἡ δὲ τῆς ἐλλάμψεως πολυτέλεια, τὴν πίστιν τρέφει τοῦ λέγοντος ἐν πίστει, ἵνα πρῶτος ὁ διδάσκων τὸν καρπὸν γεύσηται δι᾿ ἀγάπης καὶ γνώσεως· «τὸν κοπιῶντα» γάρ, φησι, «γεωργόν, δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν».

5. Ὁ νοῦς ἡμῶν τὰ πολλὰ περὶ τὴν προσευχὴν δυσανασχέτως ἔχει, διὰ τὸ στενὸν ἄγαν καὶ περιεσταλμένον τῆς εὐκτικῆς ἀρετῆς, εἰς δὲ τὴν Θεολογίαν χαίρων ἑαυτὸν ἐπιδίδωσι, διὰ τὸ πλατὺ καὶ ἀπολελυμένον τῶν θείων θεωρημάτων.

6. Ἵνα οὖν μὴ ὁδὸν αὐτῷ δῶμεν τοῦ πολλὰ θέλειν λέγειν, ἢ καὶ ὑπὲρ τὸ μέτρον πτεροῦσθαι, παραχωρῶμεν τῇ χαρᾷ, τῇ προσευχῇ τὰ πλεῖστα καὶ ψαλμῳδίᾳ, καὶ τῇ τῶν Ἁγίων Γραφῶν ἀναγνώσει σχολάζωμεν, μήτε τῶν φιλολόγων ἀνδρῶν παρορῶντες τὰ θεωρήματα, ὧν ἡ πίστις διὰ τῶν λόγων γνωρίζεται.

7. Τοῦτο γὰρ ποιοῦντες, παρεσκευάσομεν αὐτόν, οὔτε ἴδια ῥήματα ἐπιμιγνύναι τοῖς λόγοις τῆς Χάριτος, οὔτε μὴν ὑπὸ τῆς κενοδοξίας ὑποσυρῆναι, διαφορηθέντα διὰ τῆς πολλῆς χαρᾶς καὶ πολυλογίας, ἀλλὰ καὶ φαντασίας πάσης ἐκτὸς αὐτὸν ἐν τῷ καιρῷ τῆς θεωρίας φυλάξομεν, καὶ δακρυώδεις αὐτῷ σχεδὸν τὰς πάσας ἐννοίας ἐκ τούτου περιποιήσομεν.

8. Ἀναπαυόμενος γὰρ ἐν τοῖς καιροῖς τῆς ἡσυχίας, καὶ καθηδυνόμενος ὑπὸ

τοῦ τῆς εὐχῆς μάλιστα γλυκάσματος, οὐ μόνον τῶν προειρημένων αἰτιῶν ἐκτὸς γίνεται, ἀλλὰ καὶ πλέον ἀνανεοῦται εἰς τὸ ὀξέως καὶ δίχα πόνων ἐπιβάλλειν τοῖς θείοις θεωρήμασι, μετὰ καὶ τοῦ εἰς τὴν θεωρίαν αὐτὸν τῆς διακρίσεως, ἐν πολλῇ προκόπτειν ταπεινώσει.

9. Ὁ Θεολόγος, ὑπ' αὐτῶν τῶν λογίων τοῦ Θεοῦ καθηδυνόμενος τὴν ψυχὴν καὶ διαπυρούμενος, τοῖς τῆς ἀπαθείας προβάλλει εὐκαίρως πλάτεσι, «τὰ λόγια» γάρ, φησι, «Κυρίου, λόγια ἁγνά, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ».

10. Ὁ δὲ γνωστικός, ἐκ τῆς κατὰ τὴν ἐνέργειαν πείρας βεβαιούμενος, ἐπάνω τῶν παθῶν γίνεται, γεύεται δὲ καὶ ὁ Θεολόγος εἴπερ ταπεινὸν ἑαυτὸν διάθοιτο, τῆς πείρας τῆς γνωστικῆς, καὶ ὁ γνωστικός, εἴπερ ἄπταιστον τὸ διακριτικὸν τῆς ψυχῆς μέρος ἔχει, τῆς θεωρητικῆς πρὸς ὀλίγον ἀρετῆς.

11. Τὰ γὰρ δύο χαρίσματα, ἑκάστῳ οὐ συμβαίνει προσγίνεσθαι ἐξ ὁλοκλήρου, ἵνα τῶν ἀμφοτέρων θαυμαζόντων, εἰς ὃ ἕκαστος ἑκάστου περισσεύει, ἡ ταπεινοφροσύνη ἐν αὐτοῖς πλεονάζῃ μετὰ ζήλου δικαιοσύνης· διὰ τοῦτο οὖν, ὡς προεῖπον, ὁ Ἀπόστολος λέγει· «Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα».

Ἑρμηνεία

Ο ΠΝΕΥΜΑΤΙΚΟΣ λόγος [1] πληροφορεῖ τὴν νοερὰν αἴσθησιν, διότι προέρχεται ἀπὸ τὸν Θεὸν διὰ τῆς ἐνεργείας τῆς ἀγάπης· δι' αὐτὸ ἀκριβῶς καὶ ὁ νοῦς μας διαμένει, χωρὶς νὰ ἐξετάζῃ τὸ ζήτημα, εἰς τὰ ἐσωτερικὰ αὐτὰ κινήματα τῆς Θεολογίας, διότι τότε δὲν ὑποφέρει ἀπὸ πτωχείαν, ἡ ὁποία φέρει τὴν μέριμναν. Ἐπειδὴ ὁ νοῦς ἐπὶ τοσοῦτον πλατύνεται εἰς τὴν ἐσωτερικὴν ὅρασιν, ὅσον ἐπιτρέπει ἡ ἐνέργεια τῆς ἀγάπης τοῦ Θεοῦ.

2. Καλὸν εἶναι λοιπὸν ὁ ἄνθρωπος νὰ προσδοκᾷ μετὰ πίστεως, ἐνεργουμένης δι' ἀγάπης, τὸν ἐκ Θεοῦ φωτισμόν, διὰ νὰ ὁμιλῇ· διότι δὲν ὑπάρχει πτωχότερον πρᾶγμα ἀπὸ διάνοιαν, ποὺ φιλοσοφεῖ περὶ Θεοῦ καὶ εὑρίσκεται μακρὰν τοῦ Θεοῦ, οὔτε πρέπει ὁ ἄνθρωπος νὰ ἀσχολῆται μὲ πνευματικὰ θεωρήματα χωρὶς τὸν θεῖον φωτισμόν. Ἀλλ' οὔτε καὶ νὰ ἀποφασίζῃ νὰ λέγῃ, ἐὰν προηγουμένως δὲν ἔχῃ πλουσίως καταυγασθῆ ἀπὸ τὴν χρηστότητα τοῦ Ἁγίου Πνεύματος.


3. Διότι ὅπου ὑπάρχει πενία ἐκεῖ παρατηρεῖται καὶ ἄγνοια· ὅπου πάλιν ὑπάρχει πλοῦτος, ἐμποδίζει τὴν ὁμιλίαν, ἐπειδὴ τότε ἡ ψυχή, μεθυσμένη ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, θέλει νὰ ἀπολαμβάνῃ τὴν δόξαν τοῦ Κυρίου, χωρὶς νὰ ἐκφράζῃ διὰ λόγων τὴν εὐτυχίαν της αὐτήν [2]. Πρέπει λοιπὸν νὰ αἰσθανθῇ κανεὶς ἐν ἑαυτῷ τὴν ἁρμονίαν τῆς ἐνεργείας, διὰ νὰ διατυπώσῃ λόγους περὶ τοῦ Θεοῦ.

4. Αὐτὸ τὸ μέτρον χαρίζει εἰς τὴν ψυχὴν μίαν μορφὴν λόγων πε-

---

1) Πνευματικὸς λόγος καὶ Θεολογία σημαίνουν τὴν ὑπὸ τοῦ νοῦ κατ' εὐθεῖαν κατανόησιν τῆς οὐσίας καὶ τῆς φύσεως τοῦ Θεοῦ, ἄνευ ἀνθρωπίνης τινὸς διδασκαλίας. Ἡ τοιαύτη, ὑπεράνω πάσης γνώσεως, κατανόησις ὀφείλεται εἰς τὴν ἐκδήλωσιν τῆς πρὸς τὸν ἄνθρωπον ἀγάπης τοῦ Θεοῦ, συνιστᾷ μίαν ἀποκάλυψιν καὶ πληροῖ χαρᾶς καὶ εὐτυχίας τὴν ψυχήν.

2) Ἡ ἄποψις αὐτὴ μᾶς ὑπενθυμίζει τὴν παρατήρησιν τοῦ Γρηγορίου τοῦ


Ὁ ἈΒΒΑC
ΝΕΙΛΟC
ὁ ἀσκη
ΤΗC
Βλ. σελ
31-32
Ρ.Κ.
66.

ριφήμων, ἐκφραζόντων τὴν δόξαν τοῦ Θεοῦ· ἡ δὲ πλησμονὴ τῆς ἐλλάμψεως τοῦ νοῦ, ὑπὸ τοῦ θείου φωτισμοῦ, τρέφει τὴν πίστιν τοῦ ὁμιλοῦντος ἐν πίστει, ὥστε πρῶτος ὁ διδάσκων νὰ δοκιμάσῃ, μὲ τὴν ἐνέργειαν τῆς ἀγάπης καὶ τῆς ὑπὲρ λόγον γνώσεως, τὸν γλυκὺν καρπὸν τῆς μυστικῆς ἐμπειρίας τοῦ νοῦ· διότι ὅπως λέγει καὶ ὁ Ἀπόστολος· «ὁ γεωργός, ποὺ κοπιάζει πρέπει πρῶτος νὰ δοκιμάζῃ τοὺς καρποὺς τῶν κόπων του» (Β' Τιμ. β' 6).

5. Ὁ νοῦς ἡμῶν περισφίγγεται πολὺ ὅταν προσεύχεται, διότι εἶναι ὑποχρεωμένος, ἐὰν θέλῃ νὰ προσεύχεται ὅπως πρέπει, νὰ περιορίζεται εἰς ὀλίγας ἐννοίας καὶ παραστάσεις· ἀντιθέτως, θεολογῶν, ἐπεκτείνεται, δι' αὐτὸ καὶ μετὰ χαρᾶς ἐπιδίδεται εἰς τὴν Θεολογίαν, ἐξ ἀφορμῆς τῆς ἀπεριορίστου ἐκτάσεως τῶν θείων θεωρημάτων.

6. Διὰ νὰ μὴ δώσωμεν λοιπὸν εἰς τὸν νοῦν ἀνεξέλεγκτον διέξοδον τοῦ νὰ θέλῃ νὰ λέγῃ πολλά, ἤ, ἀκόμη, καὶ διὰ νὰ μὴ ἀναπτερωθῇ εἰς πτήσεις ὑψηλοτέρας τοῦ μέτρου, παραχωροῦμεν τὸ περισσότερον μέρος τῶν ψυχικῶν ἐνασχολήσεων εἰς τὴν πνευματικὴν χαράν, τὴν προσευχήν, τὴν ψαλμῳδίαν καὶ διερχόμεθα ἀρκετὸν χρόνον εἰς τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν, χωρὶς ἐν τούτοις νὰ ὑποτιμῶμεν τὰς ὑψηλὰς διδασκαλίας τῶν δυναμένων νὰ ἔχωσι λόγον εὐσεβῶν ἀνδρῶν καὶ τῶν ὁποίων τὸ ἀξιόπιστον ἐλέγχεται μόνον ἐξ ὅσων οὗτοι λέγουν.

7. Ἐνεργοῦντες κατὰ τὸν τρόπον αὐτὸν θὰ διαμορφώσωμεν οὕτω τὸν νοῦν, ὥστε οὔτε φράσεις τῆς ἰδικῆς του ἐμπνεύσεως νὰ ἀναμιγνύῃ εἰς τοὺς λόγους τῆς Χάριτος, οὔτε καὶ νὰ διατρέχῃ τὸν κίνδυνον νὰ παρασυρθῇ ἀπὸ τὴν κενοδοξίαν, ἐπειδὴ ἠλλοιώθη ἀπὸ τὴν πολλὴν χαρὰν καὶ τὰ κύματα τοῦ πνευματικοῦ λόγου· ἀλλά, καὶ ἀκόμη, θὰ τὸν προφυλάξωμεν, κατὰ τὴν περίοδον τῆς θεωρίας ἀπὸ πᾶσαν φαντασίαν ([1]), καί, ὡς ἐκ τούτου, θὰ ἐπιτύχωμεν ὥστε ὅλαι αἱ θεῖαι συλλήψεις του (κατὰ τὴν ὥραν τῆς Θεολόγου ἐκστάσεως) νὰ συνοδεύωνται ἀπὸ δάκρυα κατανύξεως.

8. Διότι ἀναπαυόμενος (ὁ νοῦς) κατὰ τὰ διαστήματα τῆς ἡσυχίας καὶ καταγλυκαινόμενος ἀπὸ τὴν κατ' ἐξοχὴν γλυκύτητα τῆς εὐχῆς, ὄχι μόνον παραμένει ἔξω ἀπὸ τὰς ἐπικινδύνους αἰτίας, ποὺ ἀνεφέραμεν ἀνωτέρω, ἀλλ', ἐπὶ πλέον, ἀποκτᾷ τοιαύτην πνευματικὴν δύναμιν, ὥστε μὲ εὐκινησίαν καὶ χωρὶς κόπους νὰ ἐπιλαμβάνεται τῶν θείων θεωρημάτων· παραλλήλως δὲ νὰ προκόπτῃ, μετὰ πολλῆς τῆς ταπεινώσεως, εἰς τὴν ἐσωτερικὴν γνῶσιν τῆς διακρίσεως.

9. Ὁ Θεολόγος, ἐπειδὴ ἡ ψυχή του γλυκαίνεται ἀπὸ αὐτὰ τὰ λόγια τοῦ Θεοῦ, καὶ πυρακτοῦται ὑπ' αὐτῶν, δι' αὐτὸ καὶ εὐκόλως πλη-

---

Θεολόγου, καθ' ἣν «τὸ θεῖον σιγῇ βιοῦται» καὶ τὸ τοῦ Παύλου «αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις» (Ρωμ. η' 26).

[1]) Θεωρία=ἐσωτερικὴ ὅρασις θείων εἰκόνων, φαντασία=ἐσωτερικὴ ὅρασις ἀπατηλῶν, πρὸς παγίδευσιν, εἰκόνων.

σιάζει εἰς τὰ πλάτη τῆς ἀπαθείας· διότι ὅπως λέγει καὶ τὸ πνεῦμα τοῦ Θεοῦ· «τὰ λόγια τοῦ Κυρίου εἶναι λόγια ἁγνά, ποὺ ὁμοιάζουν σὰν τὸ ἀσήμι, ποὺ τὸ πυρακτώνομεν, διὰ νὰ τὸ διαχωρίσωμεν ἀπὸ τὸ χῶμα» (Ψαλμ. ια΄ 7).

10. Ὁ γνωστικὸς ἀποκτῶν βεβαιότητα ἐκ τῆς πείρας, ποὺ προέρχεται ἀπὸ τὴν ἐνέργειαν, ἀνέρχεται ὑπεράνω τῶν παθῶν· ἀλλὰ καὶ ὁ Θεολόγος, ἐὰν διατηρηθῇ ταπεινός, δοκιμάζει τὴν γνωστικὴν πεῖραν· καὶ ὁ γνωστικὸς πάλιν, ἐὰν βεβαίως ἔχῃ τὴν διακριτικὴν ἱκανότητα τῆς ψυχῆς καθαράν, χωρὶς νὰ ὑποπέσῃ εἰς πταίσματα ἢ πλάνας, δοκιμάζει καὶ αὐτός, ὀλίγον, τὴν θεωρητικὴν ἀρετήν.

11. Διότι καὶ τὰ δύο χαρίσματα εἶναι ἀδύνατον νὰ συνυπάρξουν ἐξ ὁλοκλήρου εἰς ἓν καὶ τὸ αὐτὸ ἄτομον· τοῦτο δὲ διὰ νὰ θαυμάζουν καὶ οἱ δύο χαρισματοῦχοι αὐτό, κατὰ τὸ ὁποῖον ὁ ἕνας ὑπερτερεῖ τοῦ ἄλλου καί, τοιουτοτρόπως, νὰ πλεονάζῃ ἡ ταπεινοφροσύνη εἰς αὐτοὺς μαζὶ μὲ τὸν ζῆλον, διὰ τὴν ὡλοκληρωμένην καὶ πλήρη ἀρετήν, ἡ ὁποία περιλαμβάνει πᾶσαν δικαιοσύνην. Δι᾿ αὐτό, ὅπως ἀνέφερον καὶ προηγουμένως, ὁ Ἀπόστολος εἶπεν· «εἰς ἄλλον μὲν δίδεται λόγος σοφίας, διὰ τοῦ Πνεύματος, εἰς ἄλλον δὲ λόγος γνώσεως, κατὰ τὸ μέτρον τοῦ ἰδίου Πνεύματος» (Α΄ Κορ. ιβ΄ 8).

Β΄. Τοῦ Ἁγίου Μαξίμου.

ΠΡΑΚΤΙΚΗΝ μὲν ὁ νοῦς κατορθῶν, εἰς φρόνησιν προκόπτει. θεωρητικὴν δέ, εἰς γνῶσιν· τῆς μὲν γάρ ἐστιν εἰς διάκρισιν ἀρετῆς καὶ κακίας φέρειν τὸν ἀγωνιζόμενον, τῆς δὲ εἰς ἀσωμάτων τε καὶ σωμάτων λόγους εἰσάγειν τὸν μέτοχον· τῆς δὲ θεολογικῆς Χάριτος τηνικαῦτα ἀξιοῦται ὁπηνίκα τὰ προειρημένα ἅπαντα διὰ τῶν τῆς ἀγάπης πτερῶν περάσας, καὶ ἐν Θεῷ γενόμενος, τὸν περὶ Αὐτὸν λόγον διὰ τοῦ πνεύματος ὡς ἀνθρωπίνῳ νῷ δυνατὸν διασκοπήσῃ.

2. Θεολογεῖν μέλλων, μὴ τοὺς κατ᾿ Αὐτὸν ζητήσῃς λόγους, οὐ μὴ γὰρ εὕρῃ ἀνθρώπινος νοῦς, ἀλλ᾿ οὐδ᾿ ἄλλου τινὸς τῶν μετὰ Θεόν, ἀλλὰ τοὺς περὶ Αὐτὸν ὡς οἷόν τε διασκόπει, οἷον τοὺς περὶ ἀϊδιότητος, ἀπειρίας τε, καὶ ἀοριστίας, ἀγαθότητός τε, καὶ σοφίας, καὶ δυνάμεως, δημιουργικῆς τε, καὶ προνοητικῆς, καὶ κριτικῆς τῶν ὄντων· οὗτος γὰρ ἀνθρώποις μέγας Θεολόγος, ὁ τούτων τοὺς λόγους κἂν ποσῶς ἐξευρίσκων, οἱ δὲ περὶ τῆς οὐσίας τοῦ Θεοῦ, ἀγνώριστοί εἰσιν ἐξίσου πάσῃ γεννητῇ φύσει.

3. Οἱ τῶν ἡδονῶν καταφρονοῦντες, ἢ φόβῳ καταφρονοῦσιν, ἢ ἐλπίδι, ἢ γνώσει καὶ τῇ εἰς Θεὸν ἀγάπῃ. Ὁ γνώσεως Θεοῦ καταξιωθείς, καὶ τῆς ἐκ ταύτης ἡδονῆς πλουσίως ἀπολαύσας, οὗτος καταφρονεῖ τῶν ἐκ τοῦ ἐπιθυμητικοῦ τικτομένων πασῶν ἡδονῶν.

4. Ὁ ἐπιθυμῶν τῶν ἐπιγείων, ἢ βρωμάτων ἐπιθυμεῖ, ἢ τῶν τὰ ὑπογάστρια θεραπευόντων, ἢ δόξης ἀνθρωπίνης, ἢ χρημάτων, ἢ τινὸς τῶν τούτοις ἑπομένων, εἰ καὶ μή τι τούτων εὕρῃ κρεῖττον ὁ νοῦς, ἐφ᾿ ᾧ τὴν ἐπιθυμίαν μετενέγκῃ, οὐκ ἂν τούτων καταφρονεῖν εἰς τέλος πεισθήσεται· κρεῖττον δὲ τούτων ἀσυγκρίτως ἡ τοῦ Θεοῦ γνῶσις, καὶ τῶν θείων ὑπάρχει.

5. Ἡ ἄνευ πάθους τῶν θείων γνῶσις, οὐ πείθει τὸν νοῦν καταφρονεῖν τῶν προσύλων, ἀλλ᾿ ἔοικε λογισμῷ ψιλῷ πράγματος αἰσθητοῦ· διὸ πολλούς ἐστιν εὑ-

ρεῖν τῶν ἀνθρώπων γνῶσιν ἔχοντας πολλήν, καὶ ἐν τοῖς τῆς σαρκὸς παθήμασι, δίκην χοίρων, ἐν βορβόρῳ κυλινδουμένους· πρὸς ὀλίγον γὰρ ἐξ ἐπιμελείας προκαθαρθέντες, καὶ τῆς γνώσεως ἐπιτυχόντες, ὕστερον ἀμελήσαντες, ὡμοιώθησαν τῷ Σαούλ, ὃς βασιλείας καταξιωθεὶς καὶ ἀναξίως πολιτευσάμενος, μετ' ὀργῆς ἐξ αὐτῆς ἀπεβλήθη.

6. Ὥσπερ ὁ ψιλὸς τῶν ἀνθρωπίνων πραγμάτων λογισμός, οὐκ ἀναγκάζει τὸν νοῦν καταφρονεῖν τῶν θείων, οὕτως οὐδὲ ἡ ψιλὴ γνῶσις τῶν θείων, πείθει εἰς τέλος καταφρονεῖν τῶν ἀνθρωπίνων, διότι ἐν σκιαῖς νῦν ὑπάρχει καὶ εἰκασμοῖς ἡ ἀλήθεια, διὰ τοῦτο δεῖται τοῦ μακαρίου πένθους τῆς ἁγίας ἀγάπης τῆς συνδεσμούσης τὸν νοῦν τοῖς πνευματικοῖς θεωρήμασι, καὶ πειθούσης προτιμᾶν τῶν ὑλικῶν τὰ ἄϋλα, καὶ τῶν αἰσθητῶν, τὰ νοητὰ καὶ θεῖα.

7. Οὐ πάντως ὁ τὰ πάθη ἐκκόψας καὶ ψιλοὺς τοὺς λογισμοὺς ἐργασάμενος, ἤδη αὐτὰ καὶ ἐπὶ τὰ θεῖα ἔτρεψεν, ἀλλὰ δύναται μήτε πρὸς τὰ ἀνθρώπινα πάσχειν, μήτε πρὸς τὰ θεῖα, ὅπερ ἐπὶ τῶν πρακτικῶν μόνον ἐπισυμβαίνει, καὶ μήπω γνώσεως καταξιωθέντων, ἢ φόβῳ κολάσεως, ἢ ἐλπίδι Βασιλείας τῶν παθῶν ἀπέχονται.

8. «Διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους», καὶ ἐν ἐσόπτροις τὴν γνῶσιν ἔχομεν, καὶ αἰνίγμασι, διὰ τοῦτο πολλῆς δεόμεθα τῆς ἐν αὐτοῖς ἀσχολίας, ἵνα τῇ χρονίᾳ τούτων μελέτῃ καὶ ἀδολεσχίᾳ, ἕξιν δυσαπόσπαστον ἐμποιήσωμεν.

9. Ἐὰν γὰρ πρὸς ὀλίγον τὰς αἰτίας τῶν παθῶν ἐκκόψαντες τοῖς πνευματικοῖς ἐνασχοληθῶμεν θεωρήμασι, μὴ ἐν αὐτοῖς δὲ ἀεὶ διατρίψωμεν αὐτὸ τοῦτο ἔχοντες ἔργον, εὐχερῶς πάλιν ἐπὶ τὰ τῆς σαρκὸς πάθη περιτρεπόμεθα, μηδὲν ἄλλο ἐκεῖ καρπωσάμενοι, ἢ ψιλὴν γνῶσιν μετὰ οἰήσεως ᾗ τινι ἕπεται σκότωσις, καὶ ἡ παντελὴς τοῦ νοῦ ἐπὶ τὰ ὑλικὰ ἐκτροπή.

10. Πάθος ἀγάπης ἐστὶ ψεκτόν, εἰ τοῖς ὑλικοῖς πράγμασι τὸν νοῦν ἐνασχολεῖ· πάθος ἀγάπης ἐπαινετόν, τὸ τοῖς θείοις αὐτὸν συνδεσμεῖν. Εἴωθε γὰρ ὁ νοῦς ἐν οἷς χρονίζει πράγμασιν, ἐν αὐτοῖς καὶ τὴν ἐπιθυμίαν καὶ τὴν ἀγάπην τρέψαι, εἴτε ἐν τοῖς θείοις καὶ οἰκείοις καὶ νοητοῖς, εἴτε ἐν τοῖς τῆς σαρκὸς πράγμασι καὶ πάθεσιν.

11. Ὁ Θεὸς ἔκτισε τὸν ἀόρατον κόσμον καὶ τὸν ὁρώμενον, καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα δηλονότι αὐτὸς ἐποίησεν· εἰ ὁ ὁρώμενος κόσμος τοιοῦτος ἐστὶ καλός, ποῖος ἄρα ἐστὶν ὁ ἀόρατος; εἰ δὲ κρείττων τούτου ἐκεῖνος, πόσος ὑπὲρ τοὺς δύο τούτους ὁ κτίσας Θεός; εἰ οὖν κρείττων πάντων τῶν γεγονότων, ὁ πανδημιουργὸς τῶν καλῶν, τίνι λόγῳ ὁ νοῦς ἀφεὶς τὸ πάντων κρεῖττον, τοῖς πάντων χείρουσιν ἐνασχολεῖται, λέγω δὴ τοῖς τῆς σαρκὸς πάθεσιν; ἢ δῆλον, ὅτι ταύτην μὲν ἐκ γενετῆς συναναστραφεὶς συνείθισε, τοῦ δὲ πάντων κρείττονος καὶ ὑπὲρ τὰ πάντα, οὔπω τελείαν εἴληφε πεῖραν.

12. Ἐὰν οὖν χρονίᾳ ἀσκήσει, τῆς τε τῶν ἡδονῶν ἐγκρατείας, καὶ τῆς τῶν θείων μελέτης κατὰ μικρὸν αὐτὸν ταύτης τῆς σχέσεως ἀποῤῥήξωμεν, πλατύνεται ἐν τοῖς θείοις κατ' ὀλίγον προκόπτων, καὶ τὸν πόθον αὐτοῦ ἐπὶ τὸ θεῖον μεταφέρει.

13. Πᾶς ὁ σκοπὸς τῶν ἐντολῶν τοῦ Χριστοῦ ἐστίν, ἵνα ἀκρασίας καὶ μίσους τὸν νοῦν ἐλευθερώσῃ, καὶ εἰς τὴν Αὐτοῦ ἀγάπην καὶ τοῦ πλησίον ἀγάγῃ, ἐξ ὧν τίκτεται τὸ φέγγος τῆς κατ' ἐνέργειαν ἁγίας γνώσεως.

14. Μερικῆς γνώσεως παρὰ τοῦ θείου καταξιωθείς, μὴ ἀμέλει ἀγάπης καὶ ἐγκρατείας· αὗται γὰρ τὸ παθητικὸν μέρος τῆς ψυχῆς ἐκκαθαίρουσαι, τὴν ἐπὶ τὴν γνῶσιν ὁδὸν ἀεί σοι εὐτρεπίζουσιν. Ὁδὸς ἡ ἐπὶ τὴν γνῶσιν ἀπάθεια καὶ ταπείνωσις, ὧν χωρίς, οὐδεὶς ὄψεται τὸν Θεόν, ἐπειδὴ «ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ» (Α' Κορ. η' 2).

15. Σύζευξον τῇ γνώσει τὴν ἀγάπην, καὶ ἔσῃ ἄτυφος καὶ πνευματικὸς οἰκονόμος, καὶ σεαυτὸν οἰκοδομῶν καὶ πάντας τοὺς ἐγγίζοντάς σοι· ἐντεῦθεν ἡ ἀγάπη οἰκοδομεῖ, ἐπειδὴ οὐ φθονεῖ, οὐδὲ πρὸς τοὺς φθονοῦντας πικραίνεται, οὐδὲ

τὸ φθονούμενον δημοσιεύει ἐπιδεικτικῶς, οὐδὲ λογίζεται ἑαυτὸν ἤδη κατειληφέναι, καὶ ὧν δὲ οὐκ οἶδεν, ὁμολογεῖ ἀνερυθριάστως τὴν ἄγνοιαν. Οὕτως οὖν τὸν νοῦν ἄτυφον ἀπεργάζεται, καὶ προκόπτειν εἰς τὴν γνῶσιν ἀεὶ παρασκευάζει.

16. Πέφυκέ πως παρέπεσθαι τῇ γνώσει ἡ οἴησις καὶ ὁ φθόνος, ἐν προοιμίοις μάλιστα, καὶ ἡ μὲν οἴησις, ἔνδοθεν μόνον, ὁ δὲ φθόνος, ἔνδοθεν καὶ ἔξωθεν· καὶ ἔνδοθεν μὲν πρὸς τοὺς ἔχοντας γνῶσιν, ἔξωθεν δὲ ἀπὸ τῶν ἐχόντων.

17. Ἡ ἀγάπη οὖν τὰ τρία ἀνατρέπει, τὴν μὲν οἴησιν ἐπειδὴ οὐ φυσιοῦται, τὸν δὲ ἔνδοθεν φθόνον, ἐπειδὴ οὐ ζηλοῖ, τὸν δὲ ἔξωθεν, ἐπειδὴ μακροθυμεῖ καὶ χρηστεύεται· ἀνάγκη οὖν τὸν ἔχοντα γνῶσιν προσλαβέσθαι καὶ τὴν ἀγάπην, ἵνα ἄτρωτον τὸν νοῦν ἐν παντὶ διαφυλάττῃ.

18. Ὁ τοῦ χαρίσματος τῆς γνώσεως καταξιωθείς, καὶ λύπην, ἢ μνησικακίαν, ἢ μῖσος πρὸς ἄνθρωπον ἔχων, ὅμοιός ἐστι τῷ ἀκάνθαις καὶ τριβόλοις τοὺς ὀφθαλμοὺς κατακεντοῦντι· διὸ ἀναγκαίως δέεται ἡ γνῶσις τῆς ἀγάπης.

19. Εἰ ὁ Χριστὸς κατοικεῖ «διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ἡμῶν», κατὰ τὸν Ἀπόστολον, πάντες δὲ οἱ θησαυροὶ τῆς σοφίας, καὶ τῆς γνώσεως, ἐν ταῖς καρδίαις ἡμῶν εἰσιν ἀπόκρυφοι, φανεροῦνται δὲ τῇ καρδίᾳ κατὰ τὴν ἀναλογίαν τῆς ἑκάστου διὰ τῶν ἐντολῶν καθάρσεως.

20. Οὗτος ὁ θησαυρός ἐστιν ὁ ἐν τῷ ἀγρῷ κεκρυμμένος τῆς καρδίας σου, ὃν οὔπω εὗρες διὰ τὴν ἀργίαν σου· εἰ γὰρ εὗρες, πέπρακας ἂν πάντα, καὶ ἐκτήσω τὸν ἀγρὸν τοῦτον· νῦν δὲ τὸν ἀγρὸν ἀφείς, τὰ περὶ τὸν ἀγρὸν περιέπεις, ἤτοι τὰ περὶ τὸ σῶμα, ἐν οἷς ἄλλο οὐδὲν εὑρίσκεται, πλὴν ἀκανθῶν καὶ τριβόλων. Κάθαιρε τὸν νοῦν σου ἀπὸ ὀργῆς, καὶ μνησικακίας καὶ αἰσχρῶν λογισμῶν, καὶ τότε δυνήσῃ γνῶναι τὴν Χριστοῦ ἐνοίκησιν.

21. Πάντα τὰ ὄντα, νοούμενα λέγεται, τῶν ἐπ' αὐτῷ γνώσεων ἀναποδείκτους ἔχοντα τὰς ἀρχάς, ὁ δὲ Θεός, οὐ νοούμενος ὀνομάζεται, ἀλλ' ἐκ τῶν νοουμένων μόνον εἶναι πιστεύεται, διότι οὐδὲν τῶν νοουμένων αὐτῷ, καθοτιοῦν παραβάλλεται.

22. Αἱ τῶν ὄντων γνώσεις, συνηρτημένως φυσικῶς ἔχουσι πρὸς ἀπόδειξιν τοὺς οἰκείους λόγους, οἷς περιγραφὴν φυσικῶς ὑπομένουσιν, ὁ δὲ Θεός, διὰ τῶν ἐν τοῖς οὖσι λόγων εἶναι μόνον πιστεύεται, πάσης ἀποδείξεως βασιμωτέραν τοῖς εὐσεβέσι, τήν, ὅτι Κύριος ἐστίν, ὁμολογίαν καὶ πίστιν διδούς. Πίστις γάρ ἐστι γνῶσις ἀληθής, ἀναποδείκτους ἔχουσα τὰς ἀρχάς, καὶ τῶν ὑπὲρ νοῦν καὶ λόγον ὑπάρχουσα πραγμάτων ὑπόστασις.

23. Οἱ ζητοῦντες μετὰ πόνου γνῶσιν, καὶ ἀποτυγχάνοντες, ἢ διὰ ἀπιστίαν ἀποτυγχάνουσιν, ἢ τυχὸν διὰ τὸ ἀφυῶς μέλλειν αὐτοὺς ἀντιφιλονεικοῦντας ἐπαίρεσθαι κατὰ τῶν μὴ γινωσκόντων, ὡς ὁ λαὸς ὁ πάλαι κατὰ Μωσέως, πρὸς οὓς ὁ νόμος ἐρεῖ δεόντως, ὅτι παραβιασάμενοι τινές, ἀνέβησαν εἰς τὸ ὄρος «καὶ ἐξῆλθεν ὁ Ἀμοῤῥαῖος ὁ οἰκῶν ἐν τῷ ὄρει ἐκείνῳ», καὶ ἐτίτρωσκεν αὐτούς· ἀνάγκη γὰρ τοὺς ἐπιδείξεως ἕνεκα ἐπιμορφιζομένους τὴν ἀρετήν, μὴ μόνον σφάλλεσθαι δολοῦντας τὴν εὐσέβειαν, ἀλλὰ καὶ ὑπὸ τοῦ συνειδότος τιτρώσκεσθαι.

24. Ὁ μὴ πρὸς ἐπίδειξιν ἐφιέμενος γνώσεως καὶ ἀποτυγχάνων, μήτε φθονείτω τῷ πέλας, μήτε λυπείσθω, ἀλλ' ἔν τινι τῶν ὁμόῤῥων ποιείτω τὴν παρασκευὴν ὡς προτέτακται, κατ' ἀξίαν ἐν τῷ σώματι πρότερον φιλοπονῶν τῇ ψυχῇ, τὴν ἑτοιμασίαν τῆς γνώσεως.

25. Ὁ τῆς πικρᾶς δουλείας τῶν τυραννούντων ἡμᾶς δαιμόνων ἐλευθερώσας Θεός, φιλάνθρωπον θεοσεβείας ζυγὸν ἡμῖν ἐχαρίσατο, τὴν ταπεινοφροσύνην, δι' ἧς πᾶσα μὲν ἡ διαβολικὴ δαμάζεται δύναμις, πᾶν δὲ ἀγαθὸν τοῖς ἑλομένοις αὐτὴν δημιουργεῖται καὶ ἀραδιούργητον διαφυλάττεται.

26. Ὁ πιστεύων φοβεῖται, ὁ δὲ φοβούμενος ταπεινοῦνται, ὁ δὲ ταπεινούμενος πραΰνεται, τὴν παραφύσιν τῶν τῆς ἐπιθυμίας καὶ τοῦ θυμοῦ κινημάτων ἀνενέργητον ἕξιν λαβών, ὁ δὲ πραΰς, τηρεῖ τὰς ἐντολάς, ὁ δὲ τηρῶν τὰς ἐντολάς,

καθαίρεται, ὁ δὲ καθαρθείς, ἐλλάμπεται, ὁ δὲ ἐλλαμφθείς, ἐν τῷ ταμιείῳ τῶν μυστηρίων ἀξιοῦται, τῷ νυμφίῳ Λόγῳ συγκοιτασθῆναι.

27. Ὥσπερ γεωργὸς ὑπὲρ τοῦ τι τῶν ἀγρίων δένδρων μεταφυτεῦσαι, ἐπιτήδειον σκοπῶν χωρίον, ἀνελπίστῳ θησαυρῷ περιπίπτει, οὕτω καὶ πᾶς Ἀσκητὴς ταπεινόφρων, καὶ ἄπλαστος, καὶ λεῖος κατὰ ψυχὴν τῆς ὑλικῆς δασύτητος, κατὰ τὸν μακάριον Ἰακώβ, ὑπὸ τοῦ πατρὸς ἐρωτώμενος τῆς ἐπιστήμης τὸν τρόπον· «τὶ τοῦτο ὃ ταχὺ εὗρες ὦ τέκνον;» ἀποκρίνεται λέγων· «ὃ παρέδωκε Κύριος ὁ Θεός σου ἐναντίον μου».

28. Ὅταν γὰρ Κύριος ὁ Θεὸς ἡμῖν παραδῷ τῆς ἰδίας σοφίας τὰ θεωρήματα, καμάτου χωρὶς οὐ προσδοκήσασι, θησαυρὸν ἐξαίφνης πνευματικὸν εὑρηκέναι νομίσωμεν. Γεωργὸς γὰρ πνευματικός ἐστιν ὁ δόκιμος Ἀσκητής, τὴν αἰσθητὴν τῶν ὁρατῶν χώραν μεταφυτεύων, καὶ θησαυρὸν εὑρίσκων τὴν κατὰ Χάριν τῆς ἐν τοῖς οὖσι σοφίας φανέρωσιν.

29. Οἱ ὀρθῶς μετ' εὐσεβείας τοῖς οὖσι προσβάλλοντες, καὶ μηδένα φιλενδειξίας τρόπον ἐπινοοῦντες, εὑρήσουσι προσυπαντώσας αὐτοῖς τὰς τῶν ὄντων παμφαεῖς θεωρίας, ἀκριβεστάτην αὐτοῖς ἐμποιούσας ἑαυτῶν τὴν κατάληψιν, πρὸς οὓς ὁ νόμος φησίν· εἰσελθόντες κληρονομήσατε πόλεις μεγάλας καὶ καλάς, ἃς οὐκ ᾠκοδομήσατε, καὶ οἰκίας πλήρεις πάντων ἀγαθῶν, ἃς οὐκ ἐνεπλήσατε καὶ λάκκους λελατομημένους, οὓς οὐκ ἐλατομήσατε, ἀμπελῶνας καὶ ἐλαιῶνας οὓς οὐκ ἐφυτεύσατε. Ὁ γὰρ μὴ ἑαυτῷ ζῶν, ἀλλὰ τῷ Θεῷ, πάντων γίνεται πλήρης τῶν θείων χαρισμάτων, τῶν τέως διὰ τὴν ἐπικειμένην τῶν παθῶν ὄχλησιν μὴ φαινομένων.

30. Οὐδέποτε ψυχὴ δύναται πρὸς γνῶσιν ἐκταθῆναι Θεοῦ, εἰ μὴ Αὐτὸς ὁ Θεός, συγκαταβάσει χρησάμενος, ἅψηται αὐτῆς, καὶ ἀναγάγῃ πρὸς ἑαυτόν· οὐ γὰρ ἂν τοσοῦτον ἴσχυσεν ἀναδραμεῖν νοῦς ἀνθρώπινος, ὡς ἀντιλαβέσθαι τινὸς θείας ἐλλάμψεως, εἰ μὴ Αὐτὸς ὁ Θεὸς ἀνέπαυσεν αὐτόν, ὡς δυνατὸν ἦν ἀνθρώπινον νοῦν ἀναπαυθῆναι, καὶ ταῖς θείαις αὐγαῖς κατεφώτισεν.

31. Ὁ τὴν παρασκευὴν τῶν ἔργων τῆς δικαιοσύνης πληρώσας, διέβη πρὸς τὴν ἀνάπαυσιν τῆς μυστικῆς θεωρίας, καθ' ἣν τοὺς λόγους τῶν ὄντων περιλαβὼν θεοπρεπῶς, τῆς κατὰ νοῦν περὶ αὐτοὺς κινήσεως ἀναπαύεται.

32. Ἕκτη ἡμέρα ἐστίν, ἡ τῶν πρακτικῶν περὶ τὴν ἀρετὴν τῶν κατὰ φύσιν ἐνεργειῶν παντελὴς ἀποπλήρωσις. Ἑβδόμη δέ ἐστιν, ἡ τῶν θεωρητικῶν περὶ τὴν ἀρετὴν ἄῤῥητον γνῶσιν πασῶν τῶν φυσικῶν ἐννοιῶν ἀποπεράτωσις καὶ ἀπόλαυσις. Ὀγδόη δὲ ἡ πρὸς θέωσιν τῶν ἀξίων, μετάταξίς τε καὶ μετάβασις.

33. Ὁ τὴν ἕκτην θεϊκῶς μετὰ τῶν προσφόρων ἔργων καὶ ἐννοιῶν ἑαυτῷ συμπληρώσας ἡμέραν, καὶ αὐτὸς μετὰ τοῦ Θεοῦ καλῶς τὰ ἑαυτοῦ συντελέσας ἔργα, διέβη τῇ κατανοήσει πᾶσαν τὴν τῶν ὑπὸ φύσιν, καὶ χρόνον ὑπόστασιν, καὶ εἰς τὴν τῶν αἰώνων, καὶ τῶν αἰωνίων μεταταξάντων μυστικὴν θεωρίαν, σαββατίζων ἀγνώστως κατὰ νοῦν τὴν ὁλικὴν τῶν ὄντων ἀπόληψίν τε καὶ ὑπέρβασιν.

34. Ὁ δὲ καὶ τῆς ὀγδόης ἀξιωθείς, ἐκ τῶν νεκρῶν ἀνέστη, τῶν μετὰ Θεὸν λέγω πάντων αἰσθητῶν τε καὶ νοητῶν, καὶ λόγων καὶ νοημάτων, καὶ ἔζησε τὴν τοῦ Θεοῦ μακαρίαν ζωήν, τοῦ μόνου καὶ ὄντος, οἷα καὶ αὐτὸς γενόμενος τῇ θεώσει θεός· καὶ γὰρ εἴπερ ἄρα κληρονομία τῶν ἀξίων αὐτός ἐστιν ὁ Θεός· ὑπὲρ πάντας αἰῶνας καὶ χρόνους καὶ τόπους, ὁ ταύτης ἀξιούμενος τῆς Χάριτος ἔσται, τόπον ἔχων αὐτὸν τὸν Θεόν, κατὰ τὸ γεγραμμένον· «γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με».

35. Ἀναγκαῖος τῶν γνωστικῶν πάντων ἐστίν, ὁ διὰ πράξεως πλοῦτος τῶν ἀρετῶν· ὁ ἔχων γάρ, φησι, βαλάντιον, τουτέστι γνῶσιν καὶ ἀρετήν, ἀράτω ὁμοίως καὶ πήραν, ἤτοι τὴν διατρέφουσαν τὴν ψυχὴν δαψιλῶς ἀφθονίαν τῶν ἀρετῶν, ὁ δὲ μὴ ἔχων βαλάντιον δηλονότι καὶ πήραν, τουτέστι γνῶσιν καὶ ἀρετήν, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγορασάτω μάχαιραν.

36. Ἐκδότω, φησί, προθύμως τὴν ἑαυτοῦ σάρκα τοῖς πόνοις τῶν ἀρετῶν,

καὶ μεταχειρισάτω σοφῶς ὑπὲρ τῆς εἰρήνης τοῦ Θεοῦ, τὸν πρὸς τὰ πάθη, καὶ τοὺς δαίμονας πόλεμον, ἤγουν τὴν ἐν ῥήματι Θεοῦ διακρίνουσαν ἕξιν τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος.

37. Ἕως τὴν ἡμῶν τε, καὶ πάντων μετὰ Θεὸν οὐσίαν κατὰ διάνοιαν καθαρῶς οὐκ ἐκβεβήκαμεν, τὴν ἕξιν οὔπω τῆς κατ' ἀρετὴν ἀτρεψίας ἐλάβομεν, ὁπηνίκα δὲ τοῦτο δι' ἀγάπης ἡμῖν κατορθωθῇ τὸ ἀξίωμα, τότε γνωσόμεθα τῆς θείας ἐπαγγελίας τὴν δύναμιν· ἐκεῖ γὰρ εἶναι χρὴ πιστεύειν καθίδρυσιν ἀμετάθετον τοὺς ἀξίους, ἔνθα προλαβὼν ὁ νοῦς δι' ἀγάπης, τὴν σφετέραν ἀνεῤῥίζωσε δύναμιν· ὁ γὰρ μὴ ἐκβὰς ἑαυτοῦ, καὶ πάντα τὰ ὁπωσοῦν νοεῖσθαι δυνάμενα, καὶ εἰς τὴν ὑπὲρ νόησιν γῆν καταστάς, οὐ δύναται εἶναι πάμπαν ἐλεύθερος.

38. Μωσῆς ὁ μέγας, ἔξω τῆς παρεμβολῆς πηξάμενος ἑαυτοῦ τὴν σκηνήν, τουτέστι τὴν γνώμην καὶ τὴν διάνοιαν ἱδρυσάμενος ἔξω τῶν ὁρωμένων, προσκυνεῖν τὸν Θεὸν ἄρχεται εἰς τὸν γνόφον εἰσελθών, τὸν ἀειδῆ καὶ ἄϋλον τῆς γνώσεως τόπον, ἐκεῖ μένει τελούμενος τὰς ἱερωτάτας τελετάς.

39. Ὁ γνόφος ἐστιν ἡ ἀειδής, καὶ ἄϋλος, καὶ ἀσώματος κατάστασις, ἡ τὴν παραδειγματικὴν τῶν ὄντων ἔχουσα γνῶσις, ἐν ᾗ ὁ γενόμενος ἐντός, καθάπερ τις ἄλλος Μωϋσῆς, φύσει θνητῇ κατανοεῖ τὰ ἀθάνατα, δι' ἧς τῶν θείων ἀρετῶν ἑαυτῷ ζωγραφήσας τὸ κάλλος, ὥσπερ γραφὴν εὐμίμητον ἔχουσαν τοῦ ἀρχετύπου κάλλους τὸ ἀπεικόνεισμα, κάτεισιν ἑαυτὸν προβαλλόμενος τοῖς βουλομένοις μιμεῖσθαι τὴν ἀρετήν, καὶ ἐν τούτῳ δεικνὺς ἧς μετειλήφει Χάριτος, τὸ φιλάνθρωπόν τε καὶ ἄφθονον.

40. Ὁ τοῦ Θεοῦ λόγος, κόκκῳ σινάπεως ἐοικώς, πρὸ τῆς γεωργίας, πάνυ δοκεῖ εἶναι μικρός, ἐπειδὰν δὲ γεωργηθῇ δεόντως, τοσοῦτον διαδείκνυται μέγας, ὥστε τοὺς τῶν νοητῶν καὶ αἰσθητῶν κτισμάτων μεγαλοφυεῖς λόγους, πτηνῶν δίκην, αὐτῷ ἐπαναπαύεσθαι· πάντων γὰρ οἱ λόγοι καθεστήκασιν αὐτῷ χωρητοί, αὐτὸς δὲ τῶν ὄντων οὐδενί ἐστι χωρητός.

41. Διὸ τὸν ἔχοντα πίστιν ὡς κόκκον σινάπεως δύνασθαι μεταθεῖναι τῷ λόγῳ τὸ ὄρος ἔφη, τουτέστι τὸ καθ' ἡμῶν τοῦ διαβόλου κράτος ἀποδιώκειν καὶ μετατιθέναι τῆς βάσεως, ἢ τὴν δυσκίνητον τῆς κακίας ἕξιν.

42. Τὸ Μάννα τὸ δοθὲν τῷ Ἰσραὴλ κατὰ τὴν ἔρημον, ὁ τοῦ Θεοῦ λόγος ἐστί, πρὸς πᾶσαν ἡδονὴν πνευματικὴν ἀρκῶν τοῖς ἐσθίουσιν αὐτόν, καὶ πρὸς πᾶσαν γεῦσιν κατὰ τὴν διαφορὰν τῆς τῶν ἐσθιόντων ἐπιθυμίας μετακινούμενος· πάσης γὰρ ἔχει πνευματικῆς βρώσεως ποιότητα. Διὸ τοῖς μὲν ἄνωθεν ἐκ σπορᾶς ἀφθάρτου διὰ πνεύματος γεννηθεῖσι, λογικὸν ἄδολον γίνεται γάλα· τοῖς δὲ ἀσθενοῦσι λάχανον, τὴν παθοῦσαν τῆς ψυχῆς παραμυθούμενος δύναμιν· τοῖς δὲ διὰ τὴν ἕξιν τὰ αἰσθητήρια τῆς ψυχῆς γεγυμνασμένα ἔχουσι πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, στερεὰν ἑαυτῷ δίδωσι τροφήν.

43. Ἔχει καὶ ἄλλας ἀπείρους δυνάμεις ὁ τοῦ Θεοῦ λόγος ἐνταῦθα μὴ χωρουμένας, ἀναλύσας δέ τις καὶ ἄξιος γενόμενος ἐπὶ πολλῶν, ἢ ἐπὶ πάντων κατασταθῆναι, λήψεται κἀκείνας ὅλας, ἢ τινὰς τοῦ λόγου τὰς δυνάμεις, διὰ τὸ ἐν ἐλαχίστῳ αὐτὸν ἐνταῦθα γεγονέναι πιστόν· πᾶσα γὰρ τῶν ἐνταῦθα διδομένων θείων χαρισμάτων ἀκρότης, συγκρίσει τῶν μελλόντων, ἐλάχιστόν τι καὶ μέτριόν ἐστι.

44. Πᾶς τοῦ Θεοῦ λόγος, οὔτε πολύλογος, οὔτε πολυλογία ἐστίν, ἀλλ' εἷς συνεστὼς ἐκ διαφόρων θεωρημάτων, ὧν ἕκαστον μέρος ἐστὶ τοῦ λόγου, ὥστε ὁ λέγων ὑπὲρ ἀληθείας, κἂν οὕτως εἰπεῖν δυνηθῇ, ὡς μηδὲν εἰς τὸ ζητούμενον παραλιπεῖν, ἕνα λόγον εἴρηκε τοῦ Θεοῦ.

45. Ὥσπερ ὁ παρ' ἡμῖν λόγος, ἐκ τοῦ νοῦ κατὰ φύσιν προερχόμενος, ἄγγελος τῶν κρυπτομένων τοῦ νοῦ κινημάτων ἐστίν, οὕτως ὁ τοῦ Θεοῦ λόγος κατ' οὐσίαν ἐγνωκὼς τὸν Πατέρα, καθάπερ λόγος τὸν γεννήσαντα νοῦν, οὐδενὸς τῶν γεννητῶν προσβάλλειν αὐτῷ χωρὶς αὐτοῦ δυναμένου, ἀποκαλύπτει ὃν ἔγνω Πατέρα ὡς κατὰ φύσιν Λόγος.

46. Ὥσπερ ἐν τῷ κέντρῳ τῶν ἀπ' αὐτοῦ κατ' εὐθεῖαν ἐκτεταμένων γραμμῶν, ἀδιαίρετος θεωρεῖται παντελῶς ἡ θέσις, οὕτω καὶ ὁ ἀξιωθεὶς ἐν τῷ Θεῷ γενέσθαι, πάντας εἴσεται τοὺς ἐν αὐτῷ τῶν γεγονότων προϋφεστῶτας λόγους, καθ' ἁπλῆν τινα καὶ ἀδιαίρετον σχέσιν.

47. Καλὸν ἀεὶ σχολάζειν καὶ ζητεῖν τὸν Θεόν, ὡς προσετάγημεν, καὶ γὰρ κατὰ τὴν παροῦσαν ζωὴν ζητοῦντες, ἐπὶ τὸ πέρας ἐλθεῖν τοῦ βάθους τοῦ Θεοῦ οὐ δυνάμεθα, ἀλλ' ἴσως κἂν ἐπ' ὀλίγον τοῦ βάθους Αὐτοῦ φθάνοντες, θεωροῦμεν ἁγίων ἁγιώτερα, καὶ πνευματικῶν πνευματικώτερα, καὶ δηλοῖ τυπικῶς ὁ Ἀρχιερεὺς ἀπὸ τῶν Ἁγίων τῶν τῆς αὐλῆς ἁγιωτέρων, ἐπὶ τὰ Ἅγια τῶν Ἁγίων, τὰ τῶν Ἁγίων ἁγιώτερα εἰσιών.

48. Εἰ δ' ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος οἰκονομικῶς κατῆλθεν εἰς τὰ κατώτερα μέρη τῆς γῆς καὶ ἀνῆλθεν ὑπεράνω τῶν οὐρανῶν, καὶ πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι, ὁ πάντη κατὰ φύσιν ἀκίνητος, ἐν ἑαυτῷ κατ' οἰκονομίαν ὡς ἀνθρώπῳ προενεργῶν τὰ ἐσόμενα, σκοπείτω χαίρειν μυστικῶς, ὁ τὴν φιλίαν στέργων τῆς γνώσεως, ὁποῖον ἐστὶ τὸ κατ' ἐπαγγελίαν τέλος τῶν ἀγαπώντων τὸν Κύριον· πάντα γὰρ τὰ μετὰ Θεὸν πράγματα καὶ ὀνόματα καὶ ἀξιώματα, ὑποκάτω τῶν ἐν τῷ Θεῷ διὰ τῆς Χάριτος γενησομένων ἔσται.

49. Ὑψούμενος ἐν ἡμῖν ὁ τοῦ Θεοῦ Λόγος διὰ πράξεώς τε καὶ θεωρίας, πάντας ἕλκει πρὸς ἑαυτόν, τούς τε περὶ σάρκα καὶ ψυχήν, καὶ φύσιν τῶν ὄντων ἡμετέρους λογισμούς τε καὶ λόγους, καὶ αὐτὰ τὰ μέλη τοῦ σώματος, καὶ τὰς αἰσθήσεις κατ' ἀρετὴν ἁγιάζων καὶ γνῶσιν, καὶ ὑπὸ τὸν Αὐτοῦ ζυγὸν ποιούμενος.

50. Ὁ τοίνυν θεατὴς τῶν θείων, ἀναβαινέτω κατὰ σπουδήν, ἀκολουθῶν τῷ Λόγῳ, μέχρις οὗ φθάσῃ τὸν τόπον οὗ ἐστιν· ἐκεῖ γὰρ ἕλκει, καθώς φησιν ὁ Ἐκκλησιαστής, τὴν καθ' ἡμᾶς φύσιν, ὁμοίως τῷ τυπικῷ Ἀρχιερεῖ, ἀπὸ τῆς αὐλῆς εἰς τὰ Ἅγια, καὶ ἀπὸ τῶν Ἁγίων εἰς τὰ τῶν Ἁγίων Ἅγια εἰσάγοντι, ἔνθα τὸ καθ' ἡμᾶς Αὐτὸς ὑπὲρ ἡμῶν πρόδρομος εἰσῆλθε.

51. Ποιεῖ σάρκα τὸν λόγον, ὁ παραδείγμασι καὶ ῥήμασι παχυτέροις διὰ τὴν ἄλογον τῶν ἀκουόντων δύναμιν, ἠθικὴν τοῦ λόγου τὴν διδασκαλίαν ποιούμενος, καὶ πάλιν ποιεῖ πνεῦμα τὸν λόγον, ὁ τοῖς ὑψηλοῖς θεωρήμασι τὴν μυστικὴν ἐκτιθέμενος θεολογίαν.

52. Ὁ μαθὼν ὀρύσσειν, κατὰ τοὺς Πατριάρχας, διὰ πράξεως καὶ θεωρίας τὰ ἐν αὐτῷ τῆς γνώσεως φρέατα, τὸν Χριστὸν ἔνδον εὑρήσει, τὴν Πηγὴν τῆς ζωῆς, ἀφ' ἧς πίνειν ἡμᾶς ἡ σοφία παρακελεύεται λέγουσα· «πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῆς», ὅπερ ποιοῦντες, εὑρήσομεν ἔνδον ἡμῶν ὄντας τοὺς αὐτῆς θησαυρούς.

53. Οἱ διὰ τὸν φόβον τῶν Ἰουδαίων κατὰ τὴν Γαλιλαίαν ἐν τῷ ὑπερῴῳ κλείσαντες τὰς θύρας καθήμενοι, τουτέστιν οἱ διὰ τὸν φόβον τῶν πνευμάτων τῆς πονηρίας, κατὰ τὴν Χάριν τῶν ἀποκαλύψεων ἐν τῷ ὕψει τῶν θείων θεωρημάτων ἀσφαλῶς βεβηκότες, θυρῶν δίκην μύσαντες τὰς αἰσθήσεις, παραγενόμενοι ἀγνώστως δέχονται τὸν τοῦ Θεοῦ Λόγον, ἄνευ τῆς κατ' αἴσθησιν ἐνεργείας αὐτοῖς ἐπιφαινόμενον, ἀπάθειάν τε διὰ τῆς εἰρήνης, καὶ μερισμὸν Πνεύματος Ἁγίου διὰ τῆς ἐμπνεύσεως δωρούμενον, καὶ τὴν κατὰ πνευμάτων πονηρῶν ἐξουσίαν παρέχοντα, καὶ δεικνύοντα τῶν αὐτοῦ μυστηρίων τὰ σύμβολα.

54. «Πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν» ἐστι, κατὰ τὸν Μέγαν Δαβίδ, ὁ τῷ φαιδρῷ τοῦ κατὰ Θεὸν βίου, τὸν τῆς γνώσεως λόγον ἔχων συνεπιλάμποντα, καθ' οὓς ἡ πρᾶξίς τε καὶ θεωρία συνεστήκασιν· ἡ μὲν ἀρετῶν λαμπρυνομένη τρόποις, ἡ δὲ θείοις φωτιζομένη νοήμασιν.

55. Ὁ τὸν ἄρτον εὐχόμενος λαβεῖν τὸν ἐπιούσιον, οὐ πάντως ὅλον δέχεται καθὼς ὁ αὐτὸς ἄρτος ἐστίν, ἀλλὰ καθὼς ὁ δεχόμενος αὐτὸν δύναται· πᾶσι μὲν γὰρ ἑαυτὸν δίδωσιν ὁ τῆς ζωῆς Ἄρτος, ὡς φιλάνθρωπος, οὐ κατὰ τὸ αὐτὸ δὲ

πᾶσιν, ἀλλὰ τοῖς μὲν μεγάλα δικαιοσύνης ἔργα πεποιηκόσι πλειόνως, τοῖς δὲ τούτων ἧττοσιν, ἡττόνως, ἑκάστῳ καθὼς ἡ κατὰ νοῦν ἀξία δέχεσθαι δύναται.

56. Θύρα λέγεται ὁ τοῦ Θεοῦ Λόγος, ὡς τοὺς καλῶς πᾶσαν διηνυκότας τὴν ὁδὸν τῶν ἀρετῶν, κατὰ τὸν ἄμεμπτον δρόμον τῆς πράξεως, πρὸς γνῶσιν εἰσάγων, καὶ ὡς φῶς δεικνὺς τοὺς πολυφαεῖς τῆς σοφίας θησαυρούς· ὁ αὐτὸς γάρ, καὶ ὁδός ἐστι, καὶ θύρα, καὶ κλείς, καὶ βασιλεία· ὁδὸς μέν, ὡς ὁδηγός· κλεὶς δέ, ὡς ἀνοίγων τοῖς ἀξίοις τῶν θείων, καὶ ἀνοιγόμενος· θύρα δέ, ὡς εἰσαγωγεύς· βασιλεία δέ, ὡς κληρονομούμενος καὶ κατὰ μέθεξιν ἐν πᾶσι γενόμενος.

57. Λέγεται δὲ ὁ αὐτὸς φῶς, καὶ ζωή, καὶ ἀνάστασις, καὶ ἀλήθεια· φῶς μέν, καὶ ὡς λαμπρότης ψυχῶν, καὶ ὡς ἀγνοίας καὶ σκότους διώκτης, καὶ ὡς φωτίζων τὸν νοῦν πρὸς κατανόησιν τῶν ἀποῤῥήτων καὶ δεικνὺς τὰ μόνοις θεατὰ τοῖς καθαροῖς μυστήρια· ζωὴ δέ, ὡς τὴν πρέπουσαν ψυχαῖς ἀγαπώσαις τὸν Κύριον, ἐν τοῖς θείοις παρεχόμενος κίνησιν· ἀνάστασις δέ, ὡς τῆς νεκρᾶς τῶν ὑλικῶν προσπαθείας ἐγείρων τὸν νοῦν, φθορᾶς παντοίας καθαίρων καὶ νεκρότητος.

58. Ἀλήθεια δέ, ὡς ἕξιν τῶν ἀγαθῶν τοῖς ἀξίοις δωρούμενος ἄτρεπτον, ἕως ἡ ψυχὴ τὴν ἀπὸ δυνάμεως εἰς δύναμιν καὶ τὴν ἀπὸ δόξης εἰς δόξαν ποιεῖται μετάβασιν, τουτέστι τὴν ἀπὸ ἀρετῆς εἰς ἀρετὴν μείζονα προκοπήν, καὶ τὴν ἀπὸ γνώσεως εἰς γνῶσιν ὑψηλοτέραν ἀνάβασιν, οὐκ ἐπαύσατο παροικοῦσα, κατὰ τὸ εἰρημένον· «πολὰ παρῴκησεν ἡ ψυχή μου».

59. Πολὺ γάρ ἐστι τὸ διάστημα, καὶ τὸ πλῆθος τῶν ὀφειλουσῶν παρ' αὐτῆς διαβαθῆναι γνώσεων, μέχρις οὗ διελεύσεται «ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορταζόντων». Ἀεὶ φωναῖς φωνὴν νοεραῖς νοερὰν προστιθεῖσα τῇ προκοπῇ τῶν θείων θεωρημάτων, μετὰ τῆς κατὰ νοῦν ἐπὶ τοῖς θεωρηθεῖσιν ἀγαλλιάσεως, ἤγουν χαρᾶς καὶ τῆς ἀναλογούσης εὐχαριστίας.

60. Τοιαύτας γὰρ ἑορτὰς ἑορτάζουσι πάντες, οἱ τὸ πνεῦμα τῆς Χάριτος εἰληφότες ἐν ταῖς καρδίαις αὐτῶν, κράζοντες· «Ἀββᾶ, ὁ Πατήρ».

61. Ὁ τὴν καρδίαν καθαρὰν ἐργασάμενος, οὐ μόνον τῶν ὑποβεβηκότων καὶ μετὰ Θεὸν γνώσεται τοὺς λόγους, ἀλλὰ καὶ Αὐτὸν ποσῶς μετὰ τὴν τῶν ὅλων διάβασιν ἐνορᾷ τὸν Θεόν, ὅπερ ἐστὶν ἀκρότητος τέλος τῶν ἀρετῶν.

62. Ἐν ᾗ γενόμενος, ὁ Θεὸς ἀξιοῖ τὰ ἴδια γράμματα διὰ τοῦ πνεύματος ἐγχαράττειν, καθάπερ τισὶ πλαξὶ Μωσαϊκαῖς, τοσοῦτον ὅσον ἑαυτὴν διὰ πράξεως ἐπιδέδωκε, καὶ θεωρίας, κατὰ τὴν τό· «αὐξάνου μυστικῶς» κελεύουσαν ἐντολήν.

63. Ἐφ' ὅσον χρόνον τίς ἐστιν ἐν τῇ ζωῇ ταύτῃ, κἂν τέλειός ἐστι κατὰ τὴν ἐνθάδε κατάστασιν, καὶ πράξει καὶ θεωρίᾳ, τὴν ἐκ μέρους ἔχει καὶ γνῶσιν, καὶ προφητείαν, καὶ ἀῤῥαβῶνα Πνεύματος Ἁγίου, ἀλλ' οὐ κατ' αὐτὸ τὸ πλήρωμα· ἐλευσόμενός ποτε μετὰ τὴν τῶν αἰώνων περαίωσιν, εἰς τὴν τελείαν λῆξιν, τὴν πρόσωπον πρὸς πρόσωπον τοῖς ἀξίοις δεικνύουσαν αὐτὴν ἐφ' ἑαυτῆς ἑστῶσαν τὴν ἀλήθειαν, ὡς μηκέτι ἐκ τοῦ πληρώματος μέρος ἔχειν, ἀλλὰ τὸ πλήρωμα τῆς Χάριτος κατὰ μέθεξιν ὅλον νομίζεσθαι.

64. Καταντήσεσθαι γάρ, φησιν ὁ θεῖος Ἀπόστολος, πάντας δηλονότι τοὺς σῳζομένους, «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ», ἐν ᾧ εἰσιν οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι, καὶ «τότε τὸ ἐκ μέρους καταργηθήσεται».

65. Ζητοῦσι τινές, πῶς ἔσται τῶν ἀξιουμένων τῆς ἐν τῇ Βασιλείᾳ τοῦ Θεοῦ τελειότητος ἡ κατάστασις; πότερον, κατὰ τὴν προκοπὴν καὶ μετάβασιν, ἢ κατὰ τὴν ἐν στάσει ταυτότητα; πῶς τε τὰ σώματα, καὶ τὰς ψυχὰς εἶναι χρεὼν ὑπολαμβάνειν;

66. Πρὸς δὴ τοῦτο, στοχαστικῶς ἐρεῖ τις· ὅτι καθάπερ ἐπὶ τῆς σωματικῆς διττός ἐστιν ὁ τῆς τροφῆς λόγος, ὁ μὲν πρὸς αὔξησιν, ὁ δὲ πρὸς συντήρησιν τῶν τρεφομένων· μέχρι γὰρ φθάσωμεν τὸ τέλειον τῆς σωματικῆς ἡλικίας, τρεφόμεθα

πρὸς αὔξησιν, ἐπειδὰν δὲ τὸ σῶμα στῇ τῆς εἰς μέγεθος ἐπιδόσεως, οὐκέτι ἐκτρέφεται πρὸς αὔξησιν, ἀλλὰ πρὸς συντήρησιν.

67. Οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, διττὸς ὁ τῆς τροφῆς λόγος· τρέφεται γὰρ προκόπτουσα ταῖς ἀρεταῖς, καὶ τοῖς θεωρήμασι, μέχρι τοῦ διαβᾶσα τὰ ὄντα πάντα, φθάσει τὸ «μέτρον τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ», ἐν ᾧ γινομένη, πάσης τῆς πρὸς ἐπίδοσίν τε καὶ αὔξησιν, διὰ τῶν μέσων, ἵσταται προκοπῆς, ἀμέσως τρεφομένη διὰ τοῦ ὑπὲρ νόησιν.

68. Καὶ διὰ τοῦτο τυχόν, ὑπὲρ αὔξησιν, τῆς ἀφθάρτου τροφῆς εἴδους, πρὸς συντήρησιν τῆς δοθείσης αὐτῇ θεοειδοῦς τελειότητος, καὶ ἔκφανσιν τῶν τῆς τροφῆς ἐκείνης ἀπείρων ἀγλαϊῶν, καθ' ἣν τὸ ἀεὶ εὖ ὡσαύτως εἶναι ἐνδημῆσαν αὐτῇ δεχομένη γίνεται θεὸς τῇ μεθέξει τῆς θεϊκῆς Χάριτος.

69. Πασῶν τῶν κατὰ νοῦν τε καὶ αἴσθησιν ἐνεργειῶν, αὐτή τε παυσαμένη, καὶ ἑαυτῇ τὰς τοῦ σώματος συναποσπᾶσα φυσικὰς ἐνεργείας τῆς θεώσεως, ὥστε μόνον τὸν Θεὸν διά τε τῆς ψυχῆς καὶ τοῦ σώματος φαίνεσθαι, νικηθέντων αὐτοῖς τῇ ὑπερβολῇ τῆς δόξης τῶν φυσικῶν γνωρισμάτων.

70. Ἡ τῶν αἰωνίων μονῶν τε, καὶ ἐπαγγελιῶν διαφορά, τοῖς μὲν καθ' ὑπόστασιν δοκεῖ, τοπική· τοῖς δέ, κατ' ἐπίνοιαν τῆς ἰδιαζούσης καθ' ἑκάστην μονὴν πνευματικῆς ποιότητός τε, καὶ ποσότητος· ὁ δὲ γνοὺς τί τό· «ἡ Βασιλεία τοῦ Θεοῦ ἐντός ὑμῶν ἐστι», καὶ τί τό· «ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν», τοῦ δευτέρου μᾶλλον γενήσεται.

Ἑρμηνεία

ΟΤΑΝ ὁ νοῦς κατορθώνῃ νὰ ἐπιτύχῃ τὴν καλλιέργειαν τῆς πρακτικῆς ἀρετῆς, τότε προκόπτει εἰς τὴν φρόνησιν· ὅταν δὲ πάλιν ἐπιτυγχάνῃ τὴν καλλιέργειαν τῆς θεωρητικῆς ἀρετῆς, τότε προκόπτει εἰς τὴν γνῶσιν. Καὶ ἡ μὲν φρόνησις φέρει τὸν ἀγωνιζόμενον εἰς τὴν πνευματικὴν κατάστασιν νὰ διακρίνῃ μεταξὺ ἀρετῆς καὶ κακίας· ἡ δὲ γνῶσις εἰσάγει τὸν μέτοχον αὐτῆς εἰς τοὺς βαθυτέρους λόγους τῶν ἀσωμάτων καὶ τῶν σωμάτων (ἀΰλων καὶ ὑλικῶν ὄντων). Ἀμέσως δέ, ἐν συνεχείᾳ, ἀξιοῦται καὶ τῆς Θεολογικῆς χάριτος, ἀφοῦ διαπεράσῃ, διὰ τῶν πτερῶν τῆς ἀγάπης, ὅλα τὰ προηγούμενα στάδια (τῆς φρονήσεως καὶ τῆς γνώσεως) καί, εὑρεθεὶς πλησίον τοῦ Θεοῦ, ἐξετάσῃ μετὰ προσοχῆς, διὰ τοῦ πνεύματος, ὅσον εἶναι δυνατὸν εἰς τὸν ἀνθρώπινον νοῦν, τὰ κατὰ τὸν Θεόν, ὥστε νὰ συλλάβῃ τὴν ἔννοιαν Αὐτοῦ.

2. Ὅταν πρόκειται νὰ ἀσχοληθῇς μὲ τὴν Θεολογίαν, μὴ ἀναζητήσῃς τὰ κατὰ τὸν Θεὸν ὑποστατικὰ στοιχεῖα· διότι δὲν εἶναι δυνατὸν ὁ ἀνθρώπινος νοῦς ἢ ἄλλη τις πνευματικὴ δύναμις, μετὰ τὸν Θεόν, νὰ ἀνεύρῃ τὰ ὑποστατικὰ αὐτὰ στοιχεῖα [1]. Ἀλλά, ὅσον εἶναι δυνατόν, νὰ ἐξετάζῃς μετὰ προσοχῆς τὰς περὶ τὸν Θεὸν ἰδιότητας, ὡς π.χ.

---

1. Οἱ «κατ' Αὐτὸν» λόγοι ἢ (ὅπως τὸ ἀποδίδομεν) τὰ ὑποστατικὰ στοιχεῖα εἶναι οἱ θεμελιώδεις ὅροι τῆς ὑπάρξεως καὶ τῆς οὐσίας τοῦ Θεοῦ. Οὗτοι λοιπὸν εἶναι τελείως ἀπρόσιτοι διὰ τὴν ἀνθρωπίνην διάνοιαν. Διὰ τοῦτο ὁ Ἅγιος Μάξιμος συνιστᾷ νὰ μὴ ἀσχολούμεθα μὲ τὴν σύλληψιν τῆς ἐννοίας τῆς οὐσίας τοῦ Θεοῦ, ἀδύνατον διὰ τοὺς ἀνθρώπους, ἀλλὰ μόνον μὲ τὴν κατανόησιν τῶν ἰδιοτήτων τοῦ Θεοῦ.

τὴν ἀϊδιότητα τοῦ Θεοῦ, τὸ ἄπειρον Αὐτοῦ, τὸ ἀπερίγραπτον Αὐτοῦ, τὴν ἀγαθότητά Του, τὴν σοφίαν, τὴν δύναμιν (δημιουργικήν, προνοητικὴν καὶ κριτικὴν τῶν ὄντων). Διότι αὐτὸς θὰ εἶναι μέγας Θεολόγος μεταξὺ τῶν ἀνθρώπων, ποὺ θὰ κατορθώσῃ, ἔστω καὶ εἰς μικρὸν βαθμόν, νὰ ἐξιχνιάσῃ τὰς ἰδιότητας αὐτάς, καὶ κατὰ τὴν πρὸς τὴν οὐσίαν τοῦ Θεοῦ σχέσιν των, ἀλλὰ καὶ κατὰ τὴν μεταξύ των. Οἱ λόγοι, ποὺ ἀναφέρονται εἰς τὴν οὐσίαν τοῦ Θεοῦ, δηλαδὴ τὰ ὑποστατικὰ στοιχεῖα τῆς Θείας Αὐτοῦ ὑπάρξεως, εἶναι ἀδύνατον νὰ γνωσθοῦν ὑπὸ πάσης γεννητῆς φύσεως.

3. Ἐκεῖνοι, ποὺ καταφρονοῦν τὰς ἡδονάς, ἢ τὰς καταφρονοῦν ἐκ φόβου, ἢ ἐξ ἐλπίδος, ἢ ἐκ γνώσεως ἢ καὶ ἐξ ἀγάπης πρὸς τὸν Θεόν. Ἐκεῖνος, ποὺ κατηξιώθη νὰ γνωρίσῃ τὸν Θεόν, διὰ τῆς μυστικῆς καὶ ἐσωτερικῆς γνώσεως, καὶ ἀπήλαυσε πλουσίως τὴν ἐκ τῆς γνώσεως αὐτῆς προερχομένην ἡδονήν, αὐτὸς καταφρονεῖ ὅλας τὰς ἡδονὰς ποὺ γεννῶνται ἀπὸ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς.

4. Ἐκεῖνος ποὺ ἐπιθυμεῖ τὰ ἐπίγεια ἀγαθά, ἢ τροφὰς ἐπιθυμεῖ, ἢ ὑπογαστρίους ἡδονάς, ἢ τὴν δόξαν τῶν ἀνθρώπων, ἢ χρήματα, ἢ κάτι ποὺ ἀκολουθεῖ αὐτά· ἐὰν λοιπὸν ὁ νοῦς δὲν εὕρῃ κάτι πολυτιμότερον ἀπὸ αὐτά, ὥστε νὰ μεταφέρῃ εἰς ἐκεῖνο τὴν ἐπιθυμίαν του, δὲν θὰ πεισθῇ εἰς τὸ τέλος νὰ τὰ καταφρονήσῃ ὅλα αὐτά. Καλύτερον δὲ καὶ τιμιώτερον ἀπὸ αὐτὰ ὅλα, ἀλλὰ καὶ ἀπὸ αὐτὰ τὰ θεῖα, ὑπάρχει ἡ γνῶσις τοῦ Θεοῦ.

5. Ἡ γνῶσις τῶν θείων, ποὺ δὲν συνοδεύεται ἀπὸ ἀφοσίωσιν καὶ ἀγάπην, δὲν εἶναι δυνατὸν νὰ πείσῃ τὸν νοῦν νὰ καταφρονήσῃ τὰ ὑλικὰ πράγματα. Ἡ τοιαύτη γνῶσις ὁμοιάζει μὲ μίαν ἁπλῆν σκέψιν ἑνὸς αἰσθητοῦ πράγματος. Δι' αὐτὸ εἶναι δυνατὸν νὰ εὕρωμεν πολλούς, ποὺ διακρίνονται διὰ τὴν γνῶσιν των, καὶ ὅμως κυλίονται εἰς τὰ σαρκικὰ πάθη, ὅπως οἱ χοῖροι εἰς τὴν λάσπην. Οἱ τύποι αὐτοί, δι' ὀλίγον διάστημα, κατέβαλον φροντίδα καὶ ἐκαθάρισαν τὸν ψυχικόν των κόσμον ἀπὸ τὰ πάθη καὶ τοὺς λογισμούς, ἐπιτυχόντες τῆς γνώσεως τοῦ Θεοῦ· ὕστερον ὅμως ἀμελήσαντες ἐξωμοιώθησαν μὲ τὸν Σαούλ, ὅστις ἀρχικῶς μὲν ἐγένετο ἄξιος τῆς βασιλείας, ἔπειτα ὅμως, ἐπειδὴ ἐπολιτεύθη ἀναξίως, ἀπεβλήθη ὑπὸ τοῦ Θεοῦ μὲ ὀργὴν ἐκ τῆς βασιλείας (Α' Βασιλ. θ'—λα').

2. Εἰ οὖν λέγεις, ὅτι ἠλευθερώθημεν ἐν τῷ Βαπτίσματι, διατὶ οὐ θεωροῦμεν τὸν ἀέρα τῆς ἐλευθερίας, ὡς βλέπουσιν οἱ ἀγωνιζόμενοι; φημί σοι, ὅτι ἐπισκοτοῦσιν ἡμῖν αἱ κατὰ θέλησιν ἡδοναί, καὶ ἀμέλειαι αὐτῶν, ἃς ἐκεῖνοι διορθώσαντο· καὶ γάρ, ὡς εἶπον, ἐλευθεροῦται μὲν ὁ ἄνθρωπος κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ, κατὰ δὲ τὸ ἴδιον θέλημα, ὅπου ἀγαπᾷ, ἐκεῖ ἐμμένει, κἂν βεβάπτισται, διὰ τὸ ἀβίαστον εἶναι τὸ αὐτεξούσιον.

3. Καθόσον οὖν πιστεύοντες τὰς ἐντολὰς τοῦ Θεοῦ ἐργαζόμεθα, κατὰ τοσοῦτον καὶ τοὺς ἰδίους καρποὺς ἐν ἡμῖν ἐνεργεῖ τὸ Ἅγιον Πνεῦμα. Οἱ δὲ καρποὶ τοῦ Πνεύματος, κατὰ τὸν Ἅγιον Ἀπόστολον Παῦλον, εἰσίν· «ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια».

4. Σὺ οὖν, ὦ ἄνθρωπε, ὁ ἐν Χριστῷ βεβαπτισμένος, μόνον δὸς τὴν ἐργασίαν, ἧς τὴν δύναμιν εἴληφας, καὶ σαυτὸν πρὸς τὴν ἐμφάνειαν τοῦ ἐνοικοῦντος εὐτρέπισον, καὶ οὕτω σοι ἐμφανίσει ἑαυτόν, κατὰ τὴν Αὐτοῦ ἐπαγγελίαν, ὁ Κύριος πνευματικῶς, ὡς οἶδεν αὐτός· «ὁ δὲ Κύριος τὸ Πνεῦμα ἐστίν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία», καὶ τότε νοήσεις τὸ εἰρημένον, ὅτι «ἡ Βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν».

5. Εἴ τις οὖν τῶν πιστῶν καλῶς διὰ τῶν ἐντολῶν πολιτευσάμενός τινα πνευματικὴν ἀναλόγως εὗρεν ἐνέργειαν, πιστευέτω, ὅτι προειλήφει ταύτης τὴν δύναμιν, καθότι ἔλαβε διὰ τοῦ Βαπτίσματος τὴν Χάριν τοῦ Πνεύματος, τὴν πάντων τῶν ἀγαθῶν αἰτίαν, λέγω δή, οὐ μόνον τῶν κρυπτῶν καὶ πνευματικῶν, ἀλλὰ καὶ τῶν φανερῶν ἀρετῶν πρόξενον.

6. Καὶ μηδεὶς τῶν ἐναρέτων ὑπολαμβανέτω διὰ μόνης τῆς ἑαυτοῦ δυνάμεως πεποιηκέναι τι ἀγαθόν· ὁ γὰρ «ἀγαθὸς ἄνθρωπος», οὐκ ἐξ ἑαυτοῦ, φησὶν ὁ λόγος, ἀλλ' «ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προσφέρει τὸ ἀγαθόν», θησαυρὸν λέγων τὸ Πνεῦμα τὸ Ἅγιον τὸ ἐν τῇ καρδίᾳ τῶν πιστῶν ἐγκεκρυμμένον.

7. «Ὁμοία, γάρ, ἐστιν ἡ Βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ὑπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει καὶ πάντα ὅσα ἔχει πωλεῖ καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον»· ὁ γὰρ νοήσας ἀκριβῶς, ὅτι τὸν Χριστὸν ἀπὸ τοῦ Βαπτίσματος ἐν ἑαυτῷ κεκρυμμένον ἔχει, κατὰ τὸν Ἀπόστολον, πάντα ῥίψας τὰ τοῦ κόσμου τούτου πράγματα, παραμένει τῇ ἑαυτοῦ καρδίᾳ, πάσῃ φυλακῇ τηρῶν αὐτήν, καὶ ζητῶν τὴν ἔξοδον τῆς ζωῆς, κατὰ τὴν σοφὴν Παροιμίαν.

8. Καὶ τὸ εἰπεῖν δὲ· «χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν»· καὶ τό· «οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου» εἰς τὸ αὐτὸ συντείνει νόημα.

9. Δῆλον οὖν ὅτι τελεία ἡμῖν ἡ Χάρις δεδώρηται τοῦ Πνεύματος, εἰς ἐκπλήρωσιν πασῶν τῶν ἐντολῶν, προσθήκην παρ' ἡμῶν οὐ λαμβάνουσα, ἀλλ' αὐτὴ ἡμῖν προσθήκην τῆς κατὰ Χριστὸν αὐξήσεως παρέχουσα, ἐνδυναμοῦσα ἕως θανάτου τοὺς ἰδίους ἐργάτας, «μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ».

10. Τελείαν οὖν ἐλάβομεν τὴν Χάριν, ὡς εἴρηται· κατὰ δὲ τὴν διαφορὰν τῆς ἐργασίας, διαφόρως καὶ ἡ δωρεὰ ἡμῖν ἀποκαλύπτεται· ὥσπερ γὰρ ὁ ἥλιος τέλειος ὤν, τελείαν καὶ ἁπλῆν καὶ ἴσην πᾶσι τὴν παρ' ἑαυτοῦ θέρμην ἐπιβάλλει, λοιπὸν δὲ ἕκαστος καθ' ὅσον ἔχει τὸ ὄμμα κεκαθαρμένον, κατ' αὐτὸ καὶ τὸ ἡλιακὸν εἰσδέχεται φῶς, οὕτω καὶ τὸ Ἅγιον Πνεῦμα.

11. Πασῶν μὲν τῶν εὐεργεσιῶν καὶ τῶν δωρεῶν, τοὺς πιστεύοντας Αὐτῷ, δεκτικοὺς ἀπὸ τοῦ Βαπτίσματος ἐποίησε, λοιπὸν δέ, οὐ πᾶσιν ὁμοτίμως τὰς δωρεὰς ἐνεργεῖ, ἀλλ' ἑκάστῳ πρὸς ἀξίαν, κατὰ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν, ὅσον μαρτυρῆσαι τοῖς ἀγαθοῖς ἔργοις, καὶ φανεροποιῆσαι τὸ μέτρον τῆς εἰς Χριστὸν πίστεως· διό, φησίν· «ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ Αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κρᾶζον· Ἀββᾶ, ὁ Πατήρ». Καὶ «αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ».

Ἐρώτησις

12. Ὁ οὖν βαπτισθείς, τίνα δέχεται μυστικῶς, τὸν Χριστόν, ἢ τὸ Ἅγιον Πνεῦμα; Ποτὲ μὲν γὰρ εἴρηκας τὸν Χριστὸν ἐνοικεῖν, ποτὲ δὲ τὸ Ἅγιον Πνεῦμα.

Ἀπόκρισις

13. Τὸ Ἅγιον Πνεῦμα δεχόμεθα διὰ τοῦ Βαπτίσματος, ἐπειδὴ καὶ Πνεῦμα Θεοῦ λέγεται, καὶ Πνεῦμα Χριστοῦ, τούτου χάριν, διὰ τοῦ Πνεύματος καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν δεχόμεθα.

Ἐρώτησις

14. Οὐκοῦν τὸ Πνεῦμα ἐστὶν ἡ Τριάς;

Ἀπόκρισις

15. Αὐτὸ μονοπροσώπως οὐ λέγομεν τὸ Πνεῦμα εἶναι τὴν Τριάδα, ἀλλ' ἐπειδὴ οὐ κεχώρισται τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, διὰ τοῦτο ἐν Αὐτῷ τὴν Τριάδα ὁμολογοῦμεν, κατὰ τὴν αὐτὴν Θεότητα.

16. Ὥσπερ γὰρ ἐν τῷ Πατρί ἐστιν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, οὕτω καὶ ἐν τῷ Πνεύματι, ὁ Πατὴρ καὶ Υἱός ἐστιν, οὐ συγχύσει τῶν τριῶν ὑποστάσεων, ἀλλὰ τῇ ἑνώσει τῆς Αὐτοῦ βουλῆς καὶ Θεότητος, ὥστε καὶ ἡμεῖς εἴτε τὸν Πατέρα μονομερῶς ὀνομάσωμεν, εἴτε τὸν Υἱόν, εἴτε τὸ Πνεῦμα, ἐν τῷ ἑνὶ ὀνόματι, τὴν Τριάδα ὀνομάζομεν, κατὰ τὸν νοῦν ὃν εἰρήκαμεν.

17. Ὁ Κύριος εἰς τὰς ἰδίας ἐγκέκρυπται ἐντολάς, καὶ τοῖς ζητοῦσιν Αὐτὸν κατὰ ἀναλογίαν εὑρίσκεται· ὅπερ ἐστὶν οἶκος αἰσθητὸς τῷ κοινῷ ἀέρι, τοῦτο νοῦς λογικὸς τῇ θείᾳ Χάριτι. Ὅσον ἂν ἐκβάλλῃς ὕλην, τοσοῦτον αὐτομολήσει, καὶ ὅσον ἂν ἐμβάλλῃς, τοσοῦτον ὑποχωρήσει. Ὕλη οἴκου, σκεύη καὶ βρώματα· ὕλη δὲ νοός, κενοδοξία καὶ ἡδονή, χώρημα καρδίας, ἐλπὶς εἰς Θεόν· στενοχωρία δὲ αὐτῆς ἐλπὶς σωματική.

18. Μία μέν ἐστι καὶ ἀναλλοίωτος ἡ Χάρις τοῦ Πνεύματος, ἐνεργεῖ δὲ ἑκάστῳ ἰδίᾳ καθὼς βούλεται. Ὥσπερ ὑετὸς ἐπιχυθεὶς τῇ γῇ τοῖς φυτοῖς παρέχει πιότητα, γλυκεῖαν μὲν τοῖς γλυκέσι, στυφὴν δὲ τοῖς στυφοῖς, οὕτω καὶ ἡ Χάρις ταῖς καρδίαις τῶν πιστῶν, ἀτρέπτως ἐπιβαλοῦσα, ἁρμοζούσας ταῖς ἀρεταῖς τὰς ἐνεργείας χαρίζεται· τῷ διὰ Χριστὸν πεινῶντι γίνεται τροφή, καὶ τῷ διψῶντι

πόμα ἡδύτατον, τῷ ῥιγοῦντι ἔνδυμα καὶ τῷ κοπιῶντι ἀνάπαυσις, τῷ προσευχομένῳ ἐλπὶς καρδιακή, καὶ τῷ πενθοῦντι παράκλησις.

19. Ὅταν οὖν ἀκούσῃς τῆς θείας Γραφῆς περὶ τοῦ Ἁγίου Πνεύματος λεγούσης, ὅτι ἐκάθισεν ἐφ' ἕνα ἕκαστον τῶν Ἀποστόλων, ἢ ὅτι ἐφήλλατο ἐπὶ τὸν Προφήτην, ἢ ἐνεργεῖ, ἢ λυπεῖ, ἢ σβέννυται, ἢ παροξύνεται, καὶ πάλιν τοὺς μὲν ἀπαρχὴν ἔχοντας, τοὺς δὲ πλήρεις Πνεύματος Ἁγίου, μὴ τροπήν, ἢ τομήν, ἢ ἀλλοίωσίν τινα ἐννοήσῃς ἐπὶ τοῦ Πνεύματος, ἀλλὰ πίστευε καθ' ὃν τρόπον εἰρήκαμεν, ἄτρεπτον Αὐτὸ εἶναι, καὶ ἀναλλοίωτον, καὶ παντοδύναμον.

20. Διὸ ἐν ταῖς ἐνεργείαις θεοπρεπῶς, καὶ ἑκάστῳ τὸ δέον ἀποσῴζει, καὶ μένει ὅ ἐστιν· αὐτὸ μὲν γὰρ ἡλίου δίκην ἐπὶ τοὺς βαπτισθέντας ἐκκέχυται τελείως, ἕκαστος δὲ ἡμῶν καθὸ ἂν τὰ ἐπισκοτοῦντα πάθη μισήσας περιάρῃ, ἀναλόγως φωτίζεται, καὶ καθὸ ἂν ἀγαπῶν αὐτὰ διαλογίζηται, ὁμοίως σκοτίζεται.

21. Ὁ μισῶν τὰ πάθη, περιαίρει τὰς τούτων αἰτίας, ὁ δὲ ταῖς αἰτίαις ἐγκείμενος, ὑπὸ τῶν παθῶν καὶ μὴ βουλόμενος πολεμεῖται.

22. Ἡ τῶν πραγμάτων γνῶσις, κατὰ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν προσγίνεται· ἡ δὲ τῆς ἀληθείας ἐπίγνωσις, κατὰ τὸ μέτρον τῆς εἰς Θεὸν ἐλπίδος· εἰ οὖν θέλεις «σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν», πειρῶ πάντοτε ὑπερβαίνειν τὰ αἰσθητά, καὶ διὰ μόνης ἐλπίδος προσκολλᾶσθαι Θεῷ.

23. Οὕτω γὰρ ἀκοντὶ μὲν παρατρεπόμενος, εὑρήσεις «ἀρχὰς» καὶ «ἐξουσίας» πολεμούσας σοι διὰ τῶν προσβολῶν, ταύτας δὲ διὰ τῶν προσευχῶν νικῶν, καὶ μένων εὔελπις, εἴσῃ τὴν τοῦ Θεοῦ Χάριν τῆς μελλούσης ὀργῆς ῥυομένην σε· χρὴ γὰρ πρῶτον ἐνεργοῦσαν ἔχειν τὴν Χάριν ἐν τῇ καρδίᾳ τοῦ Ἁγίου Πνεύματος, καὶ οὕτω κατ' ἀναλογίαν εἰσελθεῖν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν ἐν τῷ μέλλοντι.

Ἑρμηνεία

ΠΡΕΠΕΙ νὰ γνωρίζῃς, ὅτι μὲ τὸ Ἅγιον Βάπτισμα ἐπέρχεται τελεία ἄφεσις τῶν ἁμαρτιῶν, κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ, καὶ ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος ἔχει δωρήσει εἰς τὸν βαπτισθέντα τὴν δύναμιν διὰ τὴν ἐκπλήρωσιν ὅλων τῶν ἐντολῶν. Ὅταν λοιπὸν ὁ καθεὶς δεχθῇ τὴν Χάριν αὐτήν, κατὰ τρόπον μυστικὸν καὶ πέραν πάσης λογικῆς καταλήψεως, καὶ δὲν ἐργασθῇ διὰ τὴν τελείαν ἐφαρμογὴν τῶν ἐντολῶν, τότε, ἀναλόγως τῆς σημειωθείσης ἐλλείψεως, περιπίπτει εἰς τὴν ἐξουσίαν τῆς ἁμαρτίας.

2. Ἐὰν λοιπὸν μὲ ἐρωτήσῃς, ἐφ' ὅσον ἠλευθερώθημεν διὰ τοῦ Ἁγίου Βαπτίσματος, διατί δὲν ἀπολαμβάνομεν τὸν ἀέρα τῆς ἐλευθερίας (διὰ τῶν ψυχικῶν μας αἰσθήσεων), ὅπως συμβαίνει μὲ τοὺς ἀγωνιζομένους, οἱ ὁποῖοι εἶναι ἐλεύθεροι ἀπὸ τὰ πάθη καὶ τὰς ἀδυναμίας καὶ χαίρονται οὕτω τὴν ἐλευθερίαν των; θὰ σοῦ ἀπαντήσω· διότι μᾶς σκοτίζουν αἱ θεληματικαὶ ἡδοναὶ καὶ αἱ ἀμέλειαι περὶ τὴν ἐκτέλεσιν τῶν ἐντολῶν, πράγματα τὰ ὁποῖα κατώρθωσαν ἐκεῖνοι, ὥστε οὔτε ἀπὸ τὰς θεληματικὰς ἡδονὰς νὰ ἐνοχλοῦνται, ἀλλὰ οὔτε καὶ ἀμέλειαν νὰ ἐπιδεικνύουν. Γίνεται δὲ αὐτό, διότι, ὅπως σοῦ εἶπα, ἐλευθερώνεται μὲν ὁ ἄνθρωπος, κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ, ἐν τούτοις, ὅμωςς ἐπειδὴ δὲν ἐξαφανίζεται ἡ θέλησίς του, ὅπου θεληματικῶς ἀγαπᾷ, ἐκεῖ καὶ ἐμμένει, ἔστω καὶ ἐὰν ἔχῃ βαπτισθῇ, δεδομένου ὅτι τὸ αὐτεξούσιόν μας δὲν παραβιάζεται.

3. Ἀναλόγως λοιπὸν μὲ τὴν ἔντασιν τῆς πίστεως καὶ τὴν προθυμίαν πρὸς ἐργασίαν τῶν ἐντολῶν τοῦ Θεοῦ, καλλιεργεῖ καὶ τὸ Ἅγιον Πνεῦμα ἐντὸς ἡμῶν τὴν θαυμαστὴν καρποφορίαν τῶν χαρισμάτων Του. Οἱ καρποὶ δὲ τοῦ Πνεύματος, ὡς γνωστόν, κατὰ τὸν Ἀπόστολον Παῦλον εἶναι· «Ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια» (Γαλ. ε΄ 22—23).

4. Σὺ λοιπόν, ὦ ἄνθρωπε, ποὺ ἔχεις βαπτισθῆ εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, τὸ μόνον, ποὺ ἀπαιτεῖται νὰ κάμῃς, εἶναι νὰ ἐργασθῇς μετὰ προθυμίας τὴν πνευματικὴν ἐργασίαν, διὰ τὴν ὁποίαν ἔλαβες τὴν δύναμιν καὶ νὰ τακτοποιήσῃς ἐπιμελῶς τὸν ψυχικόν σου κόσμον διὰ τὴν μυστικὴν καὶ ὑπὲρ λόγον ἐμφάνισιν τοῦ ἐνοικοῦντος εἰς τὴν ψυχήν σου Σωτῆρος. Νὰ εἶσαι δὲ βέβαιος, ὅτι θὰ ἐμφανισθῇ εἰς σὲ ὁ Κύριος πνευματικῶς, ὅπως Ἐκεῖνος γνωρίζει, συμφώνως πρὸς τὴν ἀψευδῆ ὑπόσχεσίν Του (Ἰωάν. ιδ΄ 21). «Ὁ δὲ Κύριος εἶναι τὸ Πνεῦμα· ὅπου δὲ ὑπάρχει τὸ Πνεῦμα τοῦ Κυρίου, ἐκεῖ πνέει καὶ ἐλευθερία» (Β΄ Κορ. γ΄ 17). Καὶ τότε ὁ νοῦς σου θὰ ἀντιληφθῇ τὸ ρητὸν «Ἡ Βασιλεία τοῦ Θεοῦ εὑρίσκεται ἐντὸς ὑμῶν» (Λουκ. ιζ΄ 21).

5. Ἐὰν λοιπὸν κάποιος ἀπὸ τοὺς πιστοὺς ἐπολιτεύθη καλῶς, διὰ τῆς ἐφαρμογῆς τῶν ἐντολῶν, καὶ ἀπέκτησε μίαν πνευματικὴν ἐνέργειαν, ἀνάλογον τῆς ἀγωνιστικῆς του προσπαθείας, ἂς εἶναι βέβαιος, ὅτι τὴν δύναμιν τῆς πνευματικῆς αὐτῆς ἐνεργείας τὴν ἔχει λάβει ἐκ τῶν προτέρων, ἐφ' ὅσον διὰ τοῦ Βαπτίσματος ἔλαβε τὴν Χάριν τοῦ Ἁγίου Πνεύματος, ἡ ὁποία Χάρις εἶναι ἡ γενεσιουργὸς αἰτία ὅλων τῶν ἀγαθῶν. Λέγω δέ, ὅτι ἡ Χάρις αὕτη δὲν εἶναι μόνον αἰτία τῶν κρυπτῶν καὶ πνευματικῶν ἐνεργειῶν, ἀλλὰ καὶ πρόξενος τῶν φανερῶν ἀρετῶν.

6. Δι' αὐτὸ ἂς μὴ νομίζῃ κανεὶς ἀπὸ τοὺς ἐναρέτους, ὅτι ἔχει κατορθώσει καὶ τὸ παραμικρὸν ἀγαθὸν μὲ μόνην τὴν δύναμίν του. Διότι, ὅπως διαβεβαιώνει τὸ ἀψευδὲς στόμα τοῦ Κυρίου· «Ὁ ἀγαθὸς ἄνθρωπος», δὲν προσφέρει τὸ ἀγαθὸν ἐξ ἰδίας ἱκανότητος καὶ δυνάμεως, ἀλλ' «ἀπὸ τὸν θησαυρὸν τῶν ἀγαθῶν τῆς καρδίας του» (Λουκ. ϛ΄ 45). Θησαυρὸν ἐννοῶν ὁ Κύριος τὸ Ἅγιον Πνεῦμα, ποὺ εὑρίσκεται κρυμμένον εἰς τὰς καρδίας τῶν πιστῶν.

7. Ἰδοὺ τί λέγει σχετικῶς περὶ αὐτοῦ τοῦ ζητήματος ἡ Ἁγία Γραφή· «Ἡ Βασιλεία τοῦ Θεοῦ ὁμοιάζει μὲ θησαυρόν, ποὺ εἶναι καταχωσμένος εἰς ἀγρόν· αὐτὸν τὸν θησαυρὸν τὸν ἀνεκάλυψεν ἕνας ἄνθρωπος, καὶ τὸν ἔκρυψεν εἰς ἀσφαλὲς σημεῖον. Μετὰ ταῦτα ἔτρεξεν, ἐπώλησεν ὅλα τὰ ὑπάρχοντά του καὶ ἠγόρασε τὸν ἀγρὸν ἐκεῖνον, ἐντὸς τοῦ ὁποίου ὑπάρχει ὁ θησαυρὸς» (Ματθ. ιγ΄ 44). Αὐτὸς λοιπὸν ποὺ θὰ βάλῃ καλῶς εἰς τὸν νοῦν του, ὅτι, ἀπὸ τὴν στιγμὴν τοῦ Ἁγίου Βαπτίσματος, ἔχει ἐντὸς αὐτοῦ κρυμμένον τὸν Χριστόν, κατὰ τὴν ἔννοιαν τοῦ Ἀποστόλου (Β΄ Κορ. ιγ΄ 5), ἀφοῦ ἀπορρίψῃ ὅλα τὰ πράγματα τοῦ ματαίου τούτου κόσμου, ἀπολαμβάνει τὸν οὐράνιον τοῦτον θησαυρὸν τῆς χριστοφόρου καρδίας του, περιφρουρῶν ἀγρύπνως αὐτὴν καὶ

ἐπιζητῶν τὴν ἔξοδον ἐκ τῆς παρούσης ζωῆς, ὅπως λέγει καὶ ἡ Παροιμία τοῦ σοφοῦ Σολομῶντος (Παρ. δ' 23).

8. Ἀλλὰ καὶ οἱ ἕτεροι λόγοι τοῦ Κυρίου· «Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν» (Ἰωάν. ιε' 5), καὶ «δὲν μὲ ἐξελέξατε σεῖς, ἀλλὰ ἐγὼ σᾶς ἐξέλεξα ἐκ τοῦ κόσμου» (Ἰωάν. ιε' 16—19), εἰς τὸ ἴδιον, μὲ τὰ ἀνωτέρω, συμπέρασμα καταλήγει, ὅτι δηλαδὴ ὁ θησαυρὸς τῆς καρδίας εἶναι ὁ γλυκὺς Ἰησοῦς.

9. Εἶναι λοιπὸν φανερόν, ὅτι ἔχει δωρηθῆ εἰς ἡμᾶς τελεία ἡ Χάρις τοῦ Πνεύματος, διὰ νὰ δυνηθῶμεν νὰ ἐκπληρώσωμεν ὅλας τὰς ἐντολάς· ἡ δωρηθεῖσα αὐτὴ Χάρις δὲν ἐπαυξάνεται ἀπὸ προσωπικήν μας προσπάθειαν, ἀλλ' ἀπ' ἐναντίας, αὐτὴ παρέχει εἰς ἡμᾶς προσθήκην τῆς κατὰ Χριστὸν αὐξήσεως, ἐνδυναμώνει τοὺς ἀξίους ἐργάτας τῆς Χάριτος μέχρι θανάτου εἰς τὸν ἀγῶνα τῆς ἀρετῆς, «μέχρις ὅτου νὰ καταντήσωμεν ὅλοι εἰς τὴν ἑνότητα τῆς πίστεως, εἰς τὴν ἐπίγνωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, νὰ γίνωμεν τέλειοι καὶ νὰ φθάσωμεν τὸ μέτρον τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ» (Ἐφεσ. δ' 13).

10. Ἐν συμπεράσματι λοιπὸν λέγομεν, ὅτι ἐλάβομεν τελείαν Χάριν. Ἡ δωρεὰ ὅμως αὐτὴ δὲν ἀποκαλύπτεται εἰς ὅλους ὁμοιομόρφως, ἀλλ' εἰς ἕνα ἕκαστον ἀναλόγως τοῦ μέτρου τῆς πνευματικῆς αὐτοῦ ἐργασίας. Ὅπως δηλαδὴ συμβαίνει μὲ τὸν αἰσθητὸν ἥλιον, ὁ ὁποῖος σκορπᾷ εἰς ὅλα τὰ πλάσματα τὴν θερμότητά του, κατὰ τρόπον τέλειον, ἁπλοῦν καὶ ἴσον, ἐπειδὴ εἶναι τέλειος, ὅμως ὁ κάθε ἄνθρωπος βλέπει τὸ ἡλιακὸν φῶς ἀναλόγως τῆς καθαρότητος τῶν ὀφθαλμῶν του· τοιουτοτρόπως συμβαίνει καὶ μὲ τὸ Ἅγιον Πνεῦμα.

11. Κατέστησε, δηλαδή, τὸ Ἅγιον Πνεῦμα ὅλους ὅσοι πιστεύουν εἰς τὸν Θεὸν δεκτικούς, διὰ τοῦ Βαπτίσματος, ὅλων τῶν εὐεργεσιῶν καὶ δωρεῶν Αὐτοῦ· ὡστόσον δὲν ἐνεργεῖ εἰς ὅλους ὁμοτίμως τὰς δωρεάς, ἀλλ' εἰς ἕνα ἕκαστον ξεχωριστά, συμφώνως πρὸς τὴν ἀξίαν ἑκάστου, καὶ ἀναλόγως τοῦ μεγέθους καὶ τῆς ἐκτάσεως τῆς ἐργασίας τῶν ἐντολῶν ὑφ' ἑνὸς ἑκάστου, ὥστε νὰ ἐπιβεβαιώσουν διὰ τῶν ἔργων καὶ νὰ φανερώσουν δι' αὐτῶν τὸ μέτρον τῆς εἰς Χριστὸν πίστεώς των. Σχετικῶς καὶ ὁ Ἀπόστολος λέγει, ὅτι δι' αὐτὸ «ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ Αὐτοῦ εἰς τὰς καρδίας σας καὶ κράζει· Ἀββᾶ, δηλαδή, Πατέρα»· (Γαλ. δ' 6) καὶ «αὐτὸ δὲ τὸ Ἅγιον Πνεῦμα βεβαιώνει μαζὶ μὲ τὸ ἰδικόν μας πνεῦμα, ὅτι πράγματι εἴμεθα τέκνα Θεοῦ», (Ρωμ. η' 16).

Ἐρώτησις

12. Ὁ βαπτισθεὶς λοιπόν, ποῖον δέχεται μυστικῶς κατὰ τὴν ὥραν τοῦ θείου Βαπτίσματος; τὸν Χριστὸν ἢ τὸ Ἅγιον Πνεῦμα; Ἀποσαφήνισέ μου, παρακαλῶ, διότι κατὰ τὴν ἀνωτέρω διδασκαλίαν σου, ἄλλοτε μὲν εἶπες, ὅτι ὁ Χριστὸς ἐνοικεῖ εἰς τὴν ψυχὴν τοῦ βαπτισθέντος καὶ ἄλλοτε τὸ Ἅγιον Πνεῦμα.

Ἀπάντησις

13. Διὰ τοῦ Ἁγίου Βαπτίσματος δεχόμεθα εἰς τὴν ψυχὴν ἡμῶν τὸ Ἅγιον Πνεῦμα· ἐπειδὴ ὅμως τὸ Ἅγιον Πνεῦμα ὀνομάζεται καὶ Πνεῦμα Θεοῦ καὶ Πνεῦμα Χριστοῦ, δι' αὐτό, διὰ τοῦ Ἁγίου Πνεύματος, δεχόμεθα καὶ τὸν Πατέρα καὶ τὸν Υἱόν.

Ἐρώτησις

14. Ἄρα, ὅπως μοῦ λέγεις, τὸ Ἅγιον Πνεῦμα εἶναι ἡ ἰδία ἡ Ἁγία Τριάς;

Ἀπάντησις

15. Αὐτὸ τοῦτο τὸ Ἅγιον Πνεῦμα, ὡς ἕνα πρόσωπον θεωρούμενον, δὲν λέγομεν ὅτι εἶναι ἡ Ἁγία Τριάς· ἐπειδὴ ὅμως δὲν εἶναι κεχωρισμένον, κατὰ λόγον ἰδιαιτέρας ὑπάρξεως (οὐσίας) ἀπὸ τὸν Πατέρα καὶ τὸν Υἱόν, δι' αὐτὸ ὁμολογοῦμεν, ὅτι ἐν Αὐτῷ ἐνυπάρχει ἡ Ἁγία Τριάς, κατὰ τὸν λόγον τῆς αὐτῆς Θεότητος (Ματθ. κη' 18—19).

16. Ὅπως ἀκριβῶς δηλαδὴ εἰς τὸν Πατέρα ἐνυπάρχει ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα, καὶ πάλιν εἰς τὸν Υἱὸν ἐνυπάρχει ὁ Πατὴρ καὶ τὸ Ἅγιον Πνεῦμα, τοιουτοτρόπως καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον ἐνυπάρχει ὁ Πατὴρ καὶ ὁ Υἱός, χωρὶς νὰ συγχέωνται αἱ τρεῖς ὑποστάσεις. Ἡ συνύπαρξις αὐτὴ στηρίζεται εἰς τὴν βουλὴν καὶ τὴν Θεότητα τοῦ Ἑνὸς κατὰ τὴν οὐσίαν (ὕπαρξιν) ἀδιαιρέτου Θεοῦ. Ὥστε καὶ ἡμεῖς εἴτε ὀνομάσωμεν μονομερῶς τὸν Πατέρα, εἴτε τὸν Υἱόν, εἴτε τὸ Ἅγιον Πνεῦμα, διὰ τοῦ ἑνὸς αὐτοῦ ὀνόματος ὀνομάζομεν αὐτὴν ταύτην τὴν Ἁγίαν Τριάδα, κατὰ τὴν σημασίαν καὶ ἔννοιαν, ποὺ ἀνεπτύξαμεν προηγουμένως.

17. Ὁ Κύριος εὑρίσκεται ἐγκεκρυμμένος μέσα εἰς τὰς ἐντολάς, τὰς ὁποίας ὁ ἴδιος παρέδωσε καὶ ἀποκαλύπτεται εἰς τοὺς ζητοῦντας αὐτόν, (κατ' ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν ὑπὸ τῶν ζητούντων). Ὅ,τι ἀκριβῶς εἶναι ἕνα αἰσθητὸν σπίτι, ἐν σχέσει πρὸς τὸν κοινὸν ἀτμοσφαιρικὸν ἀέρα εἶναι καὶ ὁ λογικὸς νοῦς σχετικῶς μὲ τὴν θείαν Χάριν. Ὅσον ἀφαιρεῖς ὕλην ἀπὸ τὸν χῶρον τῆς οἰκίας, ἐπὶ τοσοῦτον πληροῦται ἀπὸ τὸν ἀτμοσφαιρικὸν ἀέρα· καὶ ἀντιθέτως, ὅσον προσθέτεις ὕλην εἰς τὸν χῶρον τῆς οἰκίας, ἐπὶ τοσοῦτον καὶ ὁ ἀτμοσφαιρικὸς ἀὴρ ὑποχωρεῖ. Ὑπὸ τὴν λέξιν ὕλην οἴκου ἐννοοῦμεν τὰ οἰκιακὰ σκεύη καὶ τὰς τροφάς· ὑπὸ δὲ τὴν λέξιν ὕλην νοὸς ἐννοοῦμεν τὴν κενοδοξίαν καὶ τὴν ἡδονήν· τὸ πλήρωμα καὶ τὴν ἄνεσιν τῆς καρδίας προκαλεῖ ἡ πρὸς τὸν Θεὸν ἐλπίς· τὴν στενοχωρίαν δὲ καὶ τὸ ἄγχος αὐτῆς, ἡ ἐλπὶς εἰς τὴν σωματικὴν ἰσχὺν καὶ τὰς ὑλικὰς δυνατότητας.

18. Ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος εἶναι μία καὶ ἀναλλοίωτος· ἐνεργεῖ δὲ εἰς ἕνα ἕκαστον ἐκ τῶν ἀνθρώπων, καθὼς θέλει. Τὴν διαφορότροπον ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος ἐφ' ἑκάστης ἀνθρωπίνης ψυχῆς θὰ τὴν ἀντιληφθῶμεν καλλίτερον ἀπὸ τὸ παράδειγμα

τῆς βροχῆς. Ὅπως ἡ βροχή, ὅταν πέσῃ εἰς τὴν γῆν, παρέχει εἰς τὰ φυτὰ διαφορετικὴν εἰς ἕκαστον γεῦσιν, ἤτοι εἰς τὰ ἐκ φύσεως γλυκὰ παρέχει γλυκεῖαν γεῦσιν καὶ εἰς τὰ ἐκ φύσεως στυφά, στυφήν, τοιουτοτρόπως συμβαίνει καὶ μὲ τὸ Ἅγιον Πνεῦμα· ἡ Χάρις κατὰ τὸν αὐτὸν τρόπον κατέρχεται εἰς τὰς καρδίας τῶν πιστῶν, διαμορφώνει ὅμως εἰς αὐτὰς τὰ χαρίσματα καὶ τὰς ἐνεργείας, ποὺ ἁρμόζουν εἰς τὰς προσωπικὰς ἀρετὰς ἑκάστου τῶν πιστῶν. Ἡ αὐτὴ καὶ ἡ ἰδία δηλαδὴ Χάρις εἰς ἐκεῖνον, ποὺ πεινᾷ, χάριν τοῦ Χριστοῦ, γίνεται τροφή, εἰς ἐκεῖνον, ποὺ διψᾷ, γλυκύτατον ποτόν, εἰς ἐκεῖνον ποὺ κρυώνει ἔνδυμα, εἰς ἐκεῖνον ποὺ κουράζεται ἀνάπαυσις, εἰς ἐκεῖνον ποὺ προσεύχεται ἐλπὶς καρδίας, καὶ εἰς αὐτὸν ποὺ πενθεῖ παρηγορία.

19. Ὅταν λοιπὸν ἀκούσῃς νὰ λέγῃ ἡ Ἁγία Γραφή, ὅτι τὸ Ἅγιον Πνεῦμα ἐκάθισεν ἐπὶ τῆς κεφαλῆς ἑνὸς ἑκάστου ἐκ τῶν Ἀποστόλων, ἢ ὅτι ἐκάθισεν ἐπάνω εἰς τὸν Προφήτην (ἐπεφοίτησεν), ἢ ὅτι ἐνεργεῖ, ἢ ὅτι λυπεῖται, ἢ ὅτι σβύνει, ἢ ὅτι παροξύνεται, ἢ ὅτι ἄλλοι μὲν ἔχουν τὴν ἀπαρχὴν τοῦ Ἁγίου Πνεύματος, ἄλλοι δέ, ὅτι εἶναι πλήρεις ἀπὸ Αὐτό, μὴ ἐννοήσῃς, ὅτι τὸ Ἅγιον Πνεῦμα ὑφίσταται καμμίαν ἀλλοίωσιν, ἢ τροπήν, ἢ τομήν, ἀλλὰ νὰ πιστεύῃς, συμφώνως μὲ ὅσα εἴπομεν προηγουμένως, ὅτι τὸ Ἅγιον Πνεῦμα παραμένει ἄτρεπτον, ἀναλλοίωτον καὶ παντοδύναμον.

20. Δι' αὐτὸ καὶ ἐνεργεῖ, ὅπως ἁρμόζει εἰς τὸν Θεόν, καὶ εἰς τὸν κάθε ἕνα προφυλάσσει καὶ διατηρεῖ τὸ πρέπον, χωρὶς νὰ σμικρύνεται ἢ νὰ περιορίζεται, ἀλλὰ παραμένον αὐτὸ ποὺ εἶναι κατ' οὐσίαν (καὶ ἐνέργειαν). Τὸ Ἅγιον Πνεῦμα, δηλαδή, διανέμεται κατὰ τρόπον τέλειον εἰς ὅλους τοὺ βαπτισθέντας, ὅπως σκορποῦν αἱ ἡλιακαὶ ἀκτῖνες ἐπὶ τῆς φύσεως, χωρὶς νὰ περιορίζεται ἡ θερμότης καὶ τὸ φῶς τοῦ Ἡλίου· ὁ κάθε ἕνας δὲ ἀπὸ ἡμᾶς, ἐφ' ὅσον μισήσῃ καὶ ἀποδιώξῃ τὰ πάθη ποὺ σκοτίζουν τὴν ψυχήν, φωτίζεται ἀναλόγως ἀπὸ τὸ Ἅγιον Πνεῦμα· ἀντιστρόφως δέ, πάλιν, σκοτίζεται, περιστελλομένων τῶν φωτιστικῶν ἀκτίνων τοῦ Ἁγίου Πνεύματος, ἐφ' ὅσον σκέπτεται αὐτά, τὰ πάθη, μὲ ἐπιθυμίαν καὶ ἀγάπην.

21. Ἐκεῖνος, ὁ ὁποῖος μισεῖ τὰ πάθη, θὰ ἐκριζώσῃ ἐκ τῆς ψυχῆς του καὶ τὰς αἰτίας ποὺ προκαλοῦν τὰ πάθη· ἐκεῖνος, πάλιν, ὅστις διατηρεῖ μέσα εἰς τὴν ψυχήν του τὰς αἰτίας, καὶ χωρὶς ἀκόμη νὰ θέλῃ, πολεμεῖται ὑπὸ τῶν παθῶν.

22. Ἡ γνῶσις τῶν πραγμάτων διαμορφοῦται μέσα εἰς τὸν ψυχικόν μας κόσμον ἀναλόγως τῆς ἐντάσεως τῆς ἐργασίας τῶν ἐντολῶν, (αὐξάνει δηλαδὴ ἡ γνῶσις ἐντεινομένης τῆς ἐργασίας)· ἡ δὲ ἐπίγνωσις τῆς ἀληθείας πραγματοποιεῖται ἐν ἡμῖν κατὰ τὸ μέτρον τῆς εἰς Θεὸν ἐλπίδος. Ἐὰν λοιπὸν θέλῃς «νὰ σωθῇς καὶ νὰ φθάσῃς εἰς τὴν κατάστασιν τῆς ἐπιγνώσεως τῆς ἀληθείας» (Α' Τιμ. β' 4), προσπάθησε πάντοτε νὰ ὑπερβαίνῃς τὰ αἰσθητὰ καὶ νὰ προσκολλᾶσαι εἰς τὸν Θεὸν διὰ μόνης τῆς ἐλπίδος.

23. Διότι, τοιουτοτρόπως σκεπτόμενος καὶ ἐνεργῶν, ὁσάκις μὲν ἀκουσίως παρεκκλίνεις ὀλίγον, θὰ εὕρῃς «τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας» (τοῦ σκότους) (Ἐφεσ. ς' 12), νὰ σὲ πολεμοῦν διὰ τῶν ἐπιθέσεων τῶν λογισμῶν· πλὴν ὅμως, νικῶν τὰς ἐπιθέσεις αὐτὰς τῶν λογισμῶν διὰ τῶν προσευχῶν καὶ διατηρῶν ζωηρὰν καὶ ἀκοίμητον τὴν πρὸς τὸν Θεὸν ἐλπίδα, δὲν θὰ βραδύνῃς νὰ γνωρίσῃς καλῶς τὴν Χάριν τοῦ Θεοῦ νὰ σὲ γλυτώνῃ ἀπὸ τὴν μέλλουσαν ὀργήν. Διότι πρέπει πρῶτον νὰ αἰσθανθῇς τὴν Χάριν τοῦ Ἁγίου Πνεύματος νὰ ἐνεργῇ εἰς τὴν καρδίαν σου, καὶ ἔτσι πλέον, κατ' ἀναλογίαν τῆς ἐνεργείας τῆς Χάριτος, νὰ εἰσέλθῃς, κατὰ τὴν ἀπαρχὴν τοῦ μέλλοντος αἰῶνος, εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν.

Δ'. Τοῦ Ἁγίου Διαδόχου.

ΜΙΑΝ αἴσθησιν εἶναι φυσικὴν τῆς ψυχῆς, τὸ Ἅγιον ἡμᾶς καὶ φιλάνθρωπον Πνεῦμα διδάσκει τοῦ Θεοῦ· αἱ γὰρ πέντε ἅπαξ τῇ τοῦ σώματος ἡμῶν διαφέρουσι χρείᾳ, αὕτη δὲ συνδιαιρεῖται διὰ τὸν ἐκ τῆς παρακοῆς προσγινόμενον ὄλισθον τῷ νοΐ, ταῖς αὐτῆς τῆς ψυχῆς κινήσεσι.

2. Διόπερ τὸ μὲν αὐτῆς τῷ ἐμπαθεῖ συναπάγεται μέρει, ὅθεν τῶν τοῦ βίου καλῶν ἡδέως αἰσθανόμεθα· τὸ δέ, τῷ λογιστικῷ αὐτῆς, καὶ νοερῷ πολλάκις συνήδεται κινήματι, καθὸ πρὸς τὰ οὐράνια κάλλη τρέχειν ὁ νοῦς ἡμῶν ὅτε σωφρονοῦμεν ὀρέγεται.

3. Ἐὰν οὖν εἰς ἕξιν ἔλθωμεν τοῦ καταφρονεῖν τῶν ἐν τῷ κόσμῳ καλῶν, δυνησόμεθα καὶ τὴν γεώδη τῆς ψυχῆς ὄρεξιν τῇ λογικῇ αὐτῆς συνάψαι διαθέσει, τῆς κοινωνίας τοῦ Ἁγίου Πνεύματος τοῦτο οἰκονομούσης εἰς ἡμᾶς· ἐὰν γὰρ μὴ ἡ Αὐτοῦ Θεότης ἐνεργητικῶς τὰ τῆς καρδίας ἡμῶν ταμιεῖα καταυγάσῃ, οὐκ ἂν δυνησώμεθα ἐν ἀδιαιρέτῳ τῇ αἰσθήσει, τουτέστιν ἐν ὁλοκλήρῳ διαθέσει, γεύσασθαι τοῦ ἀγαθοῦ.

4. Αἴσθησίς ἐστι νοός, γεῦσις ἀκριβὴς τῶν διακρινομένων· ὃν γὰρ τρόπον τῇ γευστικῇ ἡμῶν αἰσθήσει τοῦ σώματος, τὰ καλὰ ἐκ τῶν φαύλων ἁπλῶς ἐν τῷ καιρῷ τῆς ὑγιείας διακρίνοντες, τῶν χρηστῶν ὀρεγόμεθα, οὕτω καὶ ὁ νοῦς ἡμῶν, ὅταν εὐρώστως καὶ ἐν πολλῇ ἀμεριμνίᾳ κινεῖσθαι ἄρξοιτο, δύναται καὶ τῆς θείας παρακλήσεως αἰσθάνεσθαι, καὶ ὑπὸ τῆς ἐναντίας μηδέποτε διαρπάζεσθαι.

5. Ὡς γὰρ τὸ σῶμα τῶν γεωδῶν γευόμενον ἡδυσμάτων, ἔχει τὴν πεῖραν τῆς αἰσθήσεως ἄπταιστον, οὕτω καὶ ὁ νοῦς.

6. Ὅταν ὁ νοῦς ἐπάνω τοῦ τῆς σαρκὸς καυχᾶται φρονήματος, δύναται γεύσασθαι τῆς παρακλήσεως ἀπλανῶς τοῦ Ἁγίου Πνεύματος, «γεύσασθε γάρ, φησι, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος»· καὶ ἔχειν τὴν μνήμην τῆς γεύσεως, διὰ τῆς ἐνεργείας τῆς ἀγάπης ἄληστον, ἐν τῷ δοκιμάζειν ἀπαύστως τὰ διαφέροντα, κατὰ τὸν λέγοντα Ἅγιον Ἀπόστολον Παῦλον· «καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ, ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα».

7. Νοῦν καθαρίσαι, μόνου τοῦ Ἁγίου Πνεύματός ἐστιν· ἐὰν γὰρ μὴ εἰσέλθῃ ὁ Δυνατὸς καὶ σκυλεύσῃ τὸν ἅρπαγα, οὐδαμῶς τὸ λάφυρον ἐλευθερωθήσεται. Δεῖ οὖν διὰ πάντων, πλέον δὲ τῇ εἰρήνῃ τῆς ψυχῆς, ἀναπαύειν τὸ Πνεῦμα τὸ Ἅγιον, ἵνα τὸν λύχνον τῆς γνώσεως ἔχωμεν διαπαντὸς παρ' ἑαυτοῖς φαίνοντα.

8. Ἐξαστράπτοντος γὰρ Αὐτοῦ ἀπαύστως ἐν τοῖς ταμείοις τῆς ψυχῆς, οὐ μόνον κατάδηλοι τῷ νοῒ πᾶσαι αἱ πικραὶ καὶ σκοτειναὶ γίνονται προσβολαὶ τοῦ

δαίμονος, ἀλλὰ καὶ ἐξασθενοῦσι λίαν ὑπὸ τοῦ ἁγίου ἐκείνου καὶ ἐνδόξου ἐλεγχόμεναι φωτός.

9. Διὰ τοῦτο ὁ Ἀπόστολος λέγει· «Τὸ πνεῦμα μὴ σβέννυτε»· ἀντὶ τοῦ μὴ κακοεργοῦντες, ἢ κακὰ λογιζόμενοι, λυπῆτε τὴν τοῦ Ἁγίου Πνεύματος ἀγαθότητα, ἵνα μὴ τῆς ὑπερμάχου ἐκείνης στερηθῆτε λαμπάδος· οὐ γὰρ τὸ ἀΐδιον καὶ ζωοποιὸν σβέννυται, ἀλλ' ἡ ἐκείνου λύπη, τουτέστιν ἡ ἀποστροφή, στυγνὸν καὶ ἀφεγγῆ τὸν νοῦν καταλιμπάνει τῆς γνώσεως.

10. Ὥσπερ ἡ θάλασσα, ὅταν ταράττηται, φύσιν ἔχει τὸ εἴκειν τῷ ἐπιχεομένῳ αὐτῇ ἐλαίῳ, ὑπὸ τῆς αὐτοῦ πιότητος νικωμένης τῆς ζάλης, οὕτω καὶ ἡ ψυχὴ ἡμῶν, ὅταν ὑπὸ τῆς χρηστότητος πιαίνηται τοῦ Ἁγίου Πνεύματος, ἡδέως γαληνιᾷ· χαίρουσα γάρ, ἡττᾶται κατὰ τὸν λέγοντα Ἅγιον· «πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου», τῇ ἐπισκιαζούσῃ Αὐτοῦ ἐκείνῃ ἀγαθῇ, καὶ ἀῤῥήτῳ χρηστότητι.

11. Διὰ τοῦτο οὖν ὁπόσοι τότε παροξυσμοὶ ὑπὸ τῶν δαιμόνων ἐπιβουλεύονται κατὰ τῆς ψυχῆς, ἀόργητος μένει καὶ πάσης χαρᾶς ἔμπλεως, εἰς ὅπερ τις ἔρχεται ἢ μένει, εἰ τῷ φόβῳ τοῦ Θεοῦ τὴν ἑαυτοῦ ψυχὴν ἀπαύστως καθηδύνει· τοῖς γὰρ ἀγωνιζομένοις εἶδός τι φέρει ἁγνισμοῦ ὁ φόβος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὁ γὰρ «φόβος Κυρίου» φησίν, «ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος».

12. Ὅτι μὲν ὁ νοῦς, ὅταν ἄρξηται πυκνῶς ὑπὸ τοῦ θείου φωτὸς ἐνεργεῖσθαι, διαφανής τις ὅλος γίνεται, ὥστε τὸ ἑαυτοῦ φῶς πλουσίως ὁρᾶν, οὐ δεῖ ἀμφιβάλλειν· τοῦτο γὰρ λέγω γίνεσθαι, ὅταν ἡ δύναμις τῆς ψυχῆς κατακυριεύσῃ τῶν παθῶν· ὅτι δὲ πᾶν τὸ ἐν σχήματι αὐτῷ φαινόμενον, εἴτε ὡς φῶς, εἴτε ὡς πῦρ, ἐκ τῆς τοῦ ἐχθροῦ κακοτεχνίας γίνεται, ὁ θεσπέσιος ἡμᾶς Παῦλος διδάσκει σαφῶς, εἰς «Ἄγγελον φωτὸς» λέγων μετασχηματίζεσθαι.

13. Οὐ δεῖ οὖν ἐπὶ ταύτῃ τῇ ἐλπίδι τὸν ἀσκητικὸν μετιέναι βίον, ἵνα μὴ ὁ σατανᾶς ἕτοιμον εὕρῃ τὴν ψυχὴν ἐντεῦθεν εἰς συναρπαγήν, ἀλλ' ἵνα φθάσωμεν μόνον ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ τῆς καρδίας ἀγαπῆσαι τὸν Θεόν, ὅπερ ἐστὶν «ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου»· ὁ γὰρ εἰς τοῦτο ὑπὸ τῆς τοῦ Θεοῦ Χάριτος ὁδηγούμενος, ἀποδημεῖ τῷ κόσμῳ, κἂν ἐν τῷ κόσμῳ παρῇ.

14. Ἄλλη ἐστὶν ἡ ἀγάπη ἡ φυσικὴ τῆς ψυχῆς, καὶ ἑτέρα ἡ ἐκ τοῦ Ἁγίου Πνεύματος αὐτῇ προσγινομένη· ἡ μὲν γὰρ ἐκ τῆς ἡμετέρας κινεῖται θελήσεως, συμμέτρως, ὅταν θέλωμεν, διὸ καὶ εὐχερῶς ὑπὸ τῶν πονηρῶν πνευμάτων, ἡνίκα μὴ βίᾳ κρατῶμεν τῆς ἑαυτῶν προαιρέσεως, διαρπάζεται.

15. Ἡ δὲ τοσοῦτον ἐκκαίει τὴν ψυχὴν πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ, ὥστε πάντα τὰ τῆς ψυχῆς τότε μέρη, τῇ τοῦ θείου πόθου ἀλαλήτως ἐγκολλᾶσθαι χρηστότητι, ἐν ἀπείρῳ τινὶ ἁπλότητι διαθέσεως· ἐγκύμων γὰρ ὥσπερ ὁ νοῦς τότε ὑπὸ τῆς πνευματικῆς ἐνεργείας γενόμενος, πηγήν τινα ἀγάπης ἀναβρύει καὶ χαρᾶς.

16. Ὥσπερ ὁ ἀὴρ οὗτος ὁ περὶ ἡμᾶς, ἐμπνέοντος μὲν τοῦ βορρᾶ τῇ κτίσει, καθαρὸς διαμένει διὰ τὴν τοῦ ἀνέμου λεπτήν τινα καὶ αἰθριωπὸν φύσιν, τοῦ δὲ νότου πνέοντος, ὅλως ὥσπερ δασύνεται, τῆς τοῦ ἀνέμου τούτου ἀχλυωποῦ φύσεως, λόγῳ τινὸς συμφυΐας, ἐκ τῶν ἑαυτοῦ μερῶν τὰς νεφέλας κατὰ πάσης ἐπιφέροντος τῆς οἰκουμένης, οὕτω καὶ ἡ ψυχή, ὅτε μὲν ὑπὸ τῆς τοῦ ἀληθινοῦ καὶ Ἁγίου Πνεύματος ἐμπνοίας ἐνεργεῖται, ἐκτὸς τῆς δαιμονικῆς ἀχλύος ὅλη εὑρίσκεται, ὅτε δὲ ὑπὸ τῆς τοῦ πνεύματος πλάνης σφοδρῶς ἐμπνέεται, ὑπὸ τῶν νεφῶν τῆς ἁμαρτίας ὅλη σκεπάζεται.

17. Χρὴ οὖν ἡμᾶς ἀεὶ τὴν πρόθεσιν ἐκ πάσης τῆς ἰσχύος, πρὸς τὴν ζωοποιὸν καὶ καθαριστικὴν αὔραν τοῦ Ἁγίου Πνεύματος ἐπιστρέφειν, τουτέστι, πρὸς ὃ εἶδεν ἀπὸ βορρᾶ πνεῦμα ἐρχόμενον ἐν φωτὶ γνώσεως ὁ Προφήτης Ἰεζεκιήλ, ἵνα αἴθριον ἀεὶ τῆς ψυχῆς τὸ θεωρητικὸν μέρος μάλιστα διαμένῃ πρὸς τὸ ἀπλανῶς ἡμᾶς τοῖς θείοις ἐπιβάλλειν θεωρήμασιν, ἐν ἀέρι φωτὸς τὰ τοῦ φωτὸς ὁρῶντας· τοῦτο γάρ ἐστι φῶς τῆς ἀληθινῆς γνώσεως.

Ἑρμηνεία

ΤΟ Ἅγιον καὶ φιλάνθρωπον Πνεῦμα τοῦ Θεοῦ μᾶς διδάσκει ὅτι μία εἶναι ἡ φυσικὴ αἴσθησις τῆς ψυχῆς (διότι αἱ πέντε γνωσταὶ αἰσθήσεις εἶναι σταθερῶς προσηρμοσμέναι πρὸς τὸ φθειρόμενον σῶμα, διὰ νὰ ἐξυπηρετοῦν τὰς ὑλικὰς αὐτοῦ ἀνάγκας). Ἡ μία λοιπὸν φυσικὴ αὐτὴ αἴσθησις, μετὰ τὴν ἐπελθοῦσαν εἰς τὸν νοῦν κατολίσθησιν πρὸς τὸ κακόν, ἐξ αἰτίας τῆς παρακοῆς, διαιρεῖται ἀναλόγως τῶν κινήσεων τῆς ψυχῆς.

2. Δι' αὐτὸ καὶ ἕνα μέρος αὐτῆς συμπαρασύρεται ἀπὸ τὴν ἐμπαθῆ κλίσιν καὶ ροπὴν τῆς ψυχῆς, εἰς τρόπον ὥστε νὰ αἰσθανώμεθα ἡδονὴν ἀπὸ τὰ ἐφήμερα καλὰ τοῦ προσκαίρου τούτου βίου. Ἄλλο πάλιν μέρος αὐτῆς (ἢ εἰς ἄλλην πάλιν περίπτωσιν ἡ αἴσθησις τῆς ψυχῆς) συνευφραίνεται πολλάκις μὲ τὴν νοερὰν καὶ λογιστικὴν ροπὴν τῆς ψυχῆς, ὁσάκις ὀρέγεται ὁ νοῦς ἡμῶν νὰ τρέχῃ πρὸς τὰ οὐράνια κάλλη· καὶ αὐτὸ συμβαίνει, ὅταν σωφρονῶμεν.

3. Ἐὰν λοιπὸν συνηθίσωμεν νὰ καταφρονῶμεν τὰ ἐφήμερα καλὰ τοῦ προσκαίρου τούτου βίου, τότε θὰ δυνηθῶμεν καὶ τὴν πρὸς τὰ γήϊνα ὄρεξιν τῆς ψυχῆς νὰ τὴν συνάψωμεν μὲ τὴν λογικὴν αὐτῆς διάθεσιν. Τοῦτο βεβαίως τὸ κατόρθωμα τὸ οἰκονομεῖ εἰς ἡμᾶς ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος. Διότι ἐφ' ὅσον ἡ Θεότης τοῦ Ἁγίου Πνεύματος δὲν καταυγάσῃ ὁλόκληρον τὴν καρδίαν μας μὲ τὴν θείαν ἐνέργειάν της, δὲν θὰ ἠμπορέσωμεν ποτὲ νὰ γευθῶμεν τὸ ἀγαθὸν μὲ ἀδιαίρετον τὴν αἴσθησιν τῆς ψυχῆς, χωρὶς δηλαδὴ αὐτη νὰ διχάζεται εἰς ἐπιθυμίαν τῶν οὐρανίων καὶ εἰς ἐπιθυμίαν τῶν ἐπιγείων, ὅταν τοῦτο ἐπιτύχωμεν τότε μόνον ἡ κλίσις καὶ ἡ διάθεσις πρὸς τὸ ἀγαθὸν θὰ εἶναι ὡλοκληρωμένη.

4. Αἴσθησις νοὸς εἶναι ἡ ἀκριβής, ὡς διὰ γεύσεως, δοκιμασία τῶν κατ' ἠθικὴν ποιότητα διαφερουσῶν μεταξύ των καταστάσεων. Ὅπως δηλαδὴ ἀκριβῶς διακρίνομεν ἀμέσως διὰ τῆς αἰσθήσεως τῆς γεύσεως τὰ νόστιμα ἀπὸ τὰ ἀηδῆ καὶ ὀρεγόμεθα τὰ χρήσιμα, τοιουτοτρόπως καὶ ὁ νοῦς μας, ὅταν εἶναι καλὰ καὶ ἀρχίζῃ νὰ κινῆται τελείως ἀμέριμνος ἀπὸ ὑλικοὺς καὶ προσκαίρους περισπασμούς, δύναται νὰ δοκιμάσῃ τὴν γλυκυτάτην ἡδονὴν τῆς θεϊκῆς παρηγορίας, ἀλλὰ καὶ ποτὲ νὰ μὴ διαρπαγῇ ἀπὸ πρόσκαιρον καὶ ἐφάμαρτον ἡδονήν.

5. Διότι, ὅπως τὸ σῶμα, ὅταν ἀποκτήσῃ πεῖραν τῶν αἰσθημάτων τῆς γεύσεως, ποὺ κυμαίνονται μεταξὺ τοῦ γλυκέος, τοῦ πικροῦ, τοῦ ἁλμυροῦ κ.λ.π., καὶ οὕτω ἡ αἴσθησις πλέον τῆς γεύσεως δὲν σφάλλει καὶ κατ' αὐτὸν τὸν τρόπον προφυλάσσεται ἡ ὑγεία, τοιουτοτρόπως καὶ ὁ νοῦς ἐπιτυγχάνει νὰ διακρίνῃ, διὰ τῆς αἰσθήσεως, τὴν κατὰ Θεὸν ἡδονὴν ἀπὸ τὴν ἐφήμερον.

6. Ὅταν ὁ νοῦς ἀπαλλαγῇ παντὸς σαρκικοῦ φρονήματος καὶ φθάσῃ εἰς τὸ σημεῖον νὰ καυχηθῇ ἐν Κυρίῳ, τότε θὰ δυνηθῇ νὰ δο-

κιμάση καὶ τὴν γλυκυτάτην παράκλησιν τοῦ Ἁγίου Πνεύματος, κατὰ τρόπον σταθερὸν καὶ ἀκλόνητον, ὅπως λέγει καὶ ἡ Ἁγία Γραφή· «γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος» (Α' Πετρ. β' 3. Ψαλμ. λγ' 9)· καὶ τότε, ὁποία εὐτυχία διὰ τὸν ἄνθρωπον αὐτόν! θὰ δυνηθῇ, διὰ τῆς ἐν αὐτῷ ἐνεργείας τῆς ἀγάπης, νὰ διατηρήσῃ ἀλησμόνητον τὴν γεῦσιν ἐκείνην, καὶ νὰ δοκιμάζῃ ἀκαταπαύστως τὰ κατὰ Θεὸν συμφέροντα, συμφώνως καὶ πρὸς τὴν παραγγελίαν τοῦ Ἀποστόλου Παύλου λέγοντος· «καὶ περὶ αὐτοῦ προσεύχομαι εἰς τὸν Θεόν, ἵνα ἡ ἀγάπη σας περισσεύσῃ ἀκόμη περισσότερον, διὰ τῆς ἐπιγνώσεως (τῆς ἀληθείας) καὶ τῆς ὡλοκληρωμένης αἰσθήσεως (τῆς ψυχῆς), ὥστε νὰ δοκιμάζετε καὶ νὰ διακρίνετε τὰ (κατὰ Θεὸν) συμφέροντα» (Φιλιπ. α' 9—10).

7. Ἡ κάθαρσις τοῦ νοὸς εἶναι δυνατὴ μόνον ἀπὸ τὸ Ἅγιον Πνεῦμα· διότι, ἐὰν δὲν εἰσέλθῃ εἰς τὸν νοῦν ὁ Δυνατὸς νὰ συλλάβῃ καὶ νὰ ἀπογυμνώσῃ τὸν ληστήν, κατ' οὐδένα τρόπον θὰ ἀπελευθερωθῇ τὸ λάφυρον, ποὺ ἥρπασεν ὁ ληστὴς τοῦ νοὸς (ὁ διάβολος). Πρέπει λοιπὸν δι' ὅλων τῶν μέσων, πρὸ παντὸς δὲ διὰ τῆς εἰρήνης τῆς ψυχῆς, νὰ ἐξασφαλίσωμεν τοὺς ὅρους, διὰ νὰ ἀναπαυθῇ ἐντὸς ἡμῶν τὸ Ἅγιον Πνεῦμα, ὥστε νὰ ἔχωμεν διαρκῶς κοντά μας τὸν λύχνον τῆς γνώσεως νὰ μᾶς φωτίζῃ.

8. Ἐφ' ὅσον ὁ λύχνος τῆς γνώσεως, ποὺ ἀνάπτει ἐν ἡμῖν τὸ Ἅγιον Πνεῦμα, ἐξαστράπτει συνεχῶς καὶ ἀκαταπαύστως ἐντὸς τοῦ πνευματικοῦ θησαυροφυλακείου τῆς ψυχῆς μας, ὄχι μόνον γίνονται ὁλοφάνεροι εἰς τὸν νοῦν αἱ πικραὶ καὶ σκοτειναὶ ἐπιθέσεις τοῦ δαίμονος, ἀλλὰ καὶ σημαντικῶς ἐξασθενοῦν, διότι ἐλέγχεται ἡ ἀπάτη των ἀπὸ τὸ ἅγιον καὶ ἔνδοξον ἐκεῖνον φῶς.

9. Δι' αὐτὸ καὶ ὁ Ἀπόστολος Παῦλος λέγει· «τὸ Πνεῦμα μὴ σβέννυτε» (Α' Θεσ. ε' 19)· μὲ αὐτὸ ὁ ἔνδοξος Ἀπόστολος θέλει νὰ εἰπῇ: μὴ σκέπτεσθε καὶ μὴ κάμετε τὸ κακόν, διότι προκαλεῖτε λύπην εἰς τὸ Ἅγιον Πνεῦμα καὶ εἶναι κίνδυνος νὰ φυγαδευθῇ ἀπὸ τὴν ψυχήν σας, ὁπόταν θὰ στερηθῆτε τῆς ὑπερμάχου ἀκτινοβολίας του εἰς τὰς ψυχάς σας. Καὶ αὐτὸ βεβαίως εἶναι τὸ βαθύτερον νόημα τοῦ Ἀποστολικοῦ ῥητοῦ, διότι τὸ Ἅγιον Πνεῦμα, ὡς ἀΐδιον καὶ ζωοποιόν, δὲν εἶναι δυνατὸν νὰ σβύσῃ· ἡ λύπη ὅμως τοῦ Ἁγίου Πνεύματος, δηλαδὴ ἡ ἀποστροφή Του πρὸς τὸν ἁμαρτάνοντα, ἀφήνει τὸν νοῦν ἔρημον τῆς φωτιστικῆς γνώσεως καὶ ὡς ἐκ τούτου σκοτεινὸν καὶ σκυθρωπόν.

10. Λέγουν ὅτι ἡ ταραχὴ τῆς θαλάσσης ὑποχωρεῖ, ὅταν ῥίψωμεν ἐπ' αὐτῆς ἔλαιον· ὅπως λοιπὸν ἀκριβῶς ἡ θαλασσία τρικυμία κατευνάζεται, νικωμένης τῆς θαλασσοταραχῆς ἀπὸ τὴν λιπαρότητα τοῦ ἐπιχεομένου ἐλαίου, τοιουτοτρόπως καὶ ἡ ψυχὴ ἡμῶν ἀπολαμβάνει τὴν γλυκεῖαν γαλήνην, ὁσάκις εὐφραίνεται ἀπὸ τὴν χρηστότητα τοῦ Ἁγίου Πνεύματος. Διότι μετὰ χαρᾶς αὕτη νικᾶται ἀπὸ τὴν ἐπισκιάζουσαν ἐκείνην ἀγαθὴν καὶ ἄρρητον χρηστότητα τοῦ Ἁγίου Πνεύματος· τὸ αἴσθημα αὐτὸ τῆς χαρᾶς, ἐκ τῆς τοιαύτης ὑποταγῆς, ἐκφράζει καὶ ὁ Προ-

φητάναξ Δαβὶδ λέγων· «Πλὴν μόνον εἰς τὸν Θεὸν νὰ ὑποταχθῇς, ψυχή μου» (Ψαλμ. ξα΄ 6).

11. Διὰ τοῦτο λοιπὸν τότε ὁπόσουσδήποτε παροξυσμοὺς καὶ ἐὰν ἐπιβουλεύωνται κατὰ τῆς ψυχῆς οἱ δαίμονες, ἡ ψυχὴ δὲν ὀργίζεται, μένει εἰρηνικὴ καὶ εἶναι πεπληρωμένη ἀπὸ πᾶσαν πνευματικὴν χαράν. Εἰς οἱανδήποτε κατάστασιν ἔλθῃ κανεὶς ἢ εὑρεθῇ, οὐδένα κίνδυνον ἀντιμετωπίζει, ἐφ᾽ ὅσον ὁ φόβος τοῦ Θεοῦ γλυκαίνει ἀκαταπαύστως τὴν ψυχήν του. Διότι εἰς τοὺς ἀγωνιζομένους κατὰ τῆς ἁμαρτίας ὁ φόβος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (δηλαδὴ ὁ ἀπόλυτος πρὸς Αὐτὸν σεβασμὸς) ἐπιφέρει ἕνα εἶδος ἁγνισμοῦ. Σχετικῶς καὶ ὁ Προφήτης Δαβὶδ λέγει· «ὁ φόβος τοῦ Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος» (Ψαλμ. ιη΄ 10).

12. Ὅτι μὲν ὁ νοῦς, ὅταν θὰ ἀρχίσῃ, συνεχῶς καὶ χωρὶς διακοπήν, νὰ ἐνεργῆται ὑπὸ τοῦ θείου φωτός, καθίσταται καθ᾽ ὁλοκληρίαν λεπτὸς καὶ διαφανής, ὥστε τὸ ἰδικόν του φῶς (ἡ διακριτικὴ τοῦ νοὸς ἱκανότης) πλουσίως νὰ βλέπῃ, κανεὶς δὲν πρέπει νὰ ἀμφιβάλλῃ· (αὐτὸ δηλαδὴ ποὺ λέγω, γίνεται, ὅταν πλέον ἡ δύναμις τῆς ψυχῆς κατακυριεύσῃ τὰ πάθη). Ὅτι ὅμως καὶ κάθε σχῆμα, τὸ ὁποῖον ἐμφανίζεται εἰς τὸν νοῦν, εἴτε ὡς φῶς, εἴτε ὡς πῦρ, εἶναι ἐνδεχόμενον νὰ προέρχεται ἀπὸ τὴν κακοτεχνίαν τοῦ ἐχθροῦ, μᾶς τὸ διδάσκει μὲ σαφήνειαν ὁ θεσπέσιος Παῦλος λέγων· «ὁ σατανᾶς καὶ εἰς Ἄγγελον φωτὸς μετασχηματίζεται» (Β΄ Κορ. ια΄ 14).

13. Δὲν πρέπει λοιπὸν στηριζόμενοι εἰς αὐτὴν τὴν ἐλπίδα, τῶν ὀπτασιῶν τοῦ νοῦ, νὰ μετερχώμεθα τὸν ἀσκητικὸν βίον, διὰ νὰ μὴ εὕρῃ ὁ σατανᾶς, ἐξ αὐτῆς τῆς ἐπιθυμίας, ἕτοιμον τὴν ψυχὴν εἰς ἀποπλάνησιν. Ἀπ᾽ ἐναντίας θὰ πρέπει νὰ ἐπιθυμῶμεν καὶ νὰ ἐπιδιώκωμεν μόνον, ὅπως φθάσωμεν νὰ ἀγαπήσωμεν τὸν Θεὸν μὲ ὡλοκληρωμένην καὶ ἀδίχαστον τὴν ψυχικήν μας αἴσθησιν, καὶ νὰ πληροφορούμεθα ὑπὸ τῆς καρδίας ἡμῶν, ὅτι τίποτε ἄλλο, ἐκτὸς τοῦ Θεοῦ, δὲν ἀγαπῶμεν, πρᾶγμα ἄλλωστε ποὺ συνιστᾷ καὶ παράγγελμα τῆς Ἁγίας Γραφῆς, διδασκούσης «Νὰ ἀγαπᾷς τὸν Θεὸν μὲ ὅλην σου τὴν καρδίαν καὶ μὲ ὅλην σου τὴν ψυχήν, καὶ μὲ ὅλην σου τὴν διάνοιαν» (Ματθ. κβ΄ 37, Μάρκ. ιβ΄ 30, Λουκ. ι΄ 27, Δευτ. ς΄ 5). Αὐτὸς δὲ ποὺ θὰ φθάσῃ εἰς τὸ θαυμαστὸν ὕψος μιᾶς τοιαύτης ὁλοκληρωτικῆς πρὸς τὸν Θεὸν ἀγάπης, ὁδηγούμενος ὑπὸ τῆς θείας Χάριτος, ἠδυνήθη πλέον νὰ ἐγκαταλείψῃ τὸν κόσμον, ἔστω καὶ ἐὰν ἀκόμη εὑρίσκεται ἐπὶ τοῦ ματαίου τούτου κόσμου.

14. Ἄλλη εἶναι ἡ φυσικὴ ἀγάπη τῆς ψυχῆς πρὸς τὸν Θεὸν καὶ διαφορετικὴ ἐκείνη, τὴν ὁποίαν ἐμπνέει εἰς τὴν ψυχὴν τὸ Ἅγιον Πνεῦμα. Ἡ φυσικὴ ἀγάπη ἔχει ὡς κίνητρον τὴν προσωπικήν μας θέλησιν, ἐκδηλοῦται ὁσάκις ἡμεῖς θελήσωμεν καὶ εἶναι πάντοτε σύμμετρος πρὸς τὴν θέλησίν μας· δι᾽ αὐτὸ καὶ εὐκόλως διαρπάζεται ἀπὸ τὰ πονηρὰ πνεύματα, ἐφ᾽ ὅσον ἡμεῖς δὲν συγκρατοῦμεν ἐπιμελῶς, μὲ βιαίαν καὶ σκληρὰν προσπάθειαν, τὴν προαίρεσίν μας ὥστε αὕτη νὰ ἐμμένῃ πάν-

τοτε προσηλωμένη καὶ ἀδιάπτωτος εἰς τὴν ἀγάπην πρὸς τὸν Θεόν.

15. Ἀντιθέτως· ἡ ἀγάπη, τὴν ὁποίαν ἐμπνέει εἰς τὴν ψυχήν μας τὸ Ἅγιον Πνεῦμα, τόσον πολὺ καταφλέγει τὴν ψυχὴν πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ, ὥστε ὅλα τὰ μέρη τῆς ψυχῆς συνάπτονται εἰς μίαν ἀδιατάρακτον ἑνότητα ἀπὸ τὴν ὑπερφυᾶ εὐτυχίαν τοῦ θείου πόθου, εἰς μίαν ἀπέραντον ἁπλότητα ψυχικῆς διαθέσεως πρὸς ἀγάπην. Τότε ὁ νοῦς, ὡς νὰ ἐγκυμονῇ ἀπὸ τὴν πνευματικὴν ἐνέργειαν, ἀναβρύει συνεχῶς, ὡς δροσερὰ καὶ ἀείρροος πηγή, ἀγάπην καὶ χαράν.

16. Ὅπως ἀκριβῶς ὁ κοινὸς ἀήρ, ποὺ μᾶς περιβάλλει, ὅταν μὲν πνέῃ βορρᾶς παραμένει καθαρός, ἐξ αἰτίας τῆς λεπτῆς καὶ διαυγοῦς φύσεως τοῦ βορείου ἀνέμου, ἐνῷ, ὅταν πνέῃ νότος, τότε ὁ ἀὴρ καθίσταται πυκνός, κάπως νεφελώδης, ἐξ αἰτίας τῆς ὁμιχλώδους φύσεως τοῦ ἀνέμου τούτου καὶ τῆς ἀναμίξεως μερῶν αὐτοῦ μὲ τὰ σύννεφα, τὰ ὁποῖα ἐπιφέρει εἰς ὁλόκληρον τὴν οἰκουμένην, τοιουτοτρόπως συμβαίνει καὶ μὲ τὴν ψυχήν· ὅταν μὲν ἡ ψυχὴ εὑρίσκεται ὑπὸ τὴν εὐεργετικὴν πνοὴν καὶ ἐνέργειαν τοῦ ἀληθινοῦ καὶ Ἁγίου Πνεύματος, τότε εὑρίσκεται ὁλόκληρος ἔξω ἀπὸ τὴν ὁμίχλην τῶν δαιμόνων· ὅταν ὅμως κατευθύνεται σφοδρῶς ἀπὸ τὴν πνοὴν τοῦ πνεύματος τῆς πλάνης, τότε πάλιν ὁλόκληρος σκεπάζεται ἀπὸ τὰ σύννεφα τῆς ἁμαρτίας.

17. Πρέπει λοιπὸν ἡμεῖς πάντοτε, μὲ ὅλην τὴν δύναμιν τῆς ψυχῆς μας, νὰ στρέφωμεν πρὸς τὸ μέρος, ποὺ πνέει ἡ ζωοποιὸς καὶ καθαριστικὴ αὔρα τοῦ Ἁγίου Πνεύματος, πρὸς τὸ σημεῖον δηλαδὴ ἐκεῖνο, ἀπὸ τὸ ὁποῖον εἶδεν ὁ Προφήτης Ἰεζεκιὴλ νὰ ἔρχεται τὸ ἀπὸ βορρᾶ πνεῦμα, κατηυγασμένον ἀπὸ τὸ φῶς τῆς γνώσεως (Ἰεζ. α' 4), διὰ νὰ παραμένῃ πάντοτε φωτεινὸν τὸ θεωρητικὸν μέρος τῆς ψυχῆς, ὥστε νὰ ἱστάμεθα σταθερῶς καὶ ἀμετακινήτως εἰς τὴν περιοχὴν τῶν θείων θεωρημάτων· ἀπὸ τῆς θέσεως αὐτῆς θὰ δυνηθῶμεν νὰ βλέπωμεν ὡς εἰς φωτεινὸν ἀέρα τὰ ἔργα τοῦ φωτός, διότι αὐτὸ εἶναι τὸ φῶς τῆς ἀληθινῆς γνώσεως.


Ε'. Τοῦ Ἀββᾶ Ἰσαάκ.

ΨΥΧΗ ἡ τὸν Θεὸν ἀγαπῶσα, ἐν τῷ Θεῷ καὶ μόνῳ τὴν ἀνάπαυσιν κέκτηται. Προκατάλαβε λύειν πάντα σύνδεσμον ἐξωτικὸν ἀπὸ σεαυτοῦ, καὶ τότε δυνήσῃ τῇ καρδίᾳ συνδεθῆναι τῷ Θεῷ· προηγεῖται γὰρ τοῦ συνδεθῆναι τῷ Θεῷ τὸ λυθῆναι τῆς ὕλης.

2. Ἡ τοῦ ἄρτου βρῶσις, μετὰ τὸ ἀπογαλακτισθῆναι δίδοται τῷ βρέφει, καὶ ἄνθρωπος βουλόμενος ἐν τοῖς θείοις πλατυνθῆναι, πρότερον ὀφείλει ἑαυτὸν ἀπὸ πάντων τῶν τοῦ κόσμου ἀποξενῶσαι, ὥσπερ νήπιον ἀπὸ τῶν μητρικῶν μαστῶν.

3. Ἡ σωματικὴ ἐργασία προηγεῖται τῆς ψυχικῆς, ὥσπερ ὁ χοῦς τῆς ἐμπνευσθείσης τῷ Ἀδὰμ ψυχῆς. Ὁ μὴ κτησάμενος τὴν σωματικὴν ἐργασίαν, οὐδὲ τὴν ψυχικὴν δύναται ἔχειν, διότι αὕτη ἐξ ἐκείνης γεννᾶται, ὥσπερ ὁ στάχυς ἐκ τοῦ γυμνοῦ κόκκου.

4. Καὶ ὁ μὴ ἔχων τὴν ψυχικὴν ἐργασίαν, ἐστέρηται τῶν πνευματικῶν χαρισμάτων· τίς ἀγαπῶν τὰς φλυαρίας, δύναται κτήσασθαι καθαρὰν διάνοιαν; ἢ



(Βλ. σελ. 33, 35, 252, 258, 419, 423)

τίς ἀκόλαστος ὢν καὶ διακεχυμένος τοῖς μέλεσι, ταπεινὸς τῇ καρδίᾳ ἔσται καὶ γαληνός;

5. Ὅταν μὲν ὁ νοῦς ὑπὸ τῶν αἰσθήσεων ἀνθέλκηται, τότε μετ᾿ αὐτῶν τὴν τῶν θηρίων τροφὴν ἔδεται· ἡνίκα δὲ αἱ αἰσθήσεις ὑπὸ τοῦ νοὸς ἑλκυσθῶσι, τηνικαῦτα μετ᾿ αὐτοῦ τῆς τῶν Ἀγγέλων τροφῆς μεταλαμβάνουσιν.

Ἐρώτησις.

6. Τίς ἡ αἰτία τῶν ὁράσεων καὶ τῶν ἀποκαλύψεων, ὅτι τινὲς μὲν ἀξιοῦνται αὐτῶν, οὐ πολλὰ πάνυ κοπιάσαντες ἴσως, τινὲς δὲ οὐδενὸς τούτων ἐπέτυχον, μοχθοῦντες καὶ κακοπαθοῦντες ὑπὲρ ἐκείνους;

Ἀπόκρισις

7. Αἱ αἰτίαι τούτων πολλαί εἰσι καὶ διάφοροι, ὅμως δ᾿ οὖν ἐπὶ πολύ, κατὰ τρεῖς τρόπους ταῦτα οἰκονομοῦνται εἰς τοὺς ἀνθρώπους, διὰ τὸ τοῦ Θεοῦ ἔλεος· ἢ γὰρ τοῖς τελείοις καὶ ἁγίοις ἀνδράσιν ἡ τοῦ Πνεύματος Χάρις ἀποκαλύπτεται, καὶ ἐνεργεῖ διὰ τὴν τῆς καρδίας αὐτῶν καθαρότητα, ἢ τοῖς ἁπλουστέροις καὶ ὑπερβαλλόντως ἀκάκοις διὰ τὸ τοῦ ἤθους αὐτῶν ἄπλαστον καὶ ἀπόνηρον, καὶ μὴ εἰς φυσίωσιν ἀρθῆναι δυνάμενον, ἢ τοῖς σχοῦσι ζῆλον Θεοῦ ἔμπυρον καὶ ἀποταξαμένοις τῷ κόσμῳ τελείως, καὶ γυμνοῖς ὀπίσω τοῦ Θεοῦ ἐξελθοῦσι, καὶ πόῤῥω τῶν ἀνθρώπων ἀναχωρήσασιν.

8. Οἷς ἐμπίπτει δειλία ἐκ τοῦ ἰδιασμοῦ, καὶ περικυκλοῖ αὐτοὺς φόβος θανάτου, ἐκ τοῦ λιμοῦ, ἢ τῆς ἀῤῥωστίας, ἢ ἔκ τινος ἄλλης περιστάσεως, ἐπὶ τοσοῦτον, ὥστε αὐτοὺς ἐγγίζειν τῇ ἀπογνώσει.

9. Τοῖς τοιούτοις οὖν πολλάκις αἱ παρακλήσεις παρὰ Θεοῦ ἐπιπέμπονται, διὰ τὸ μὴ ἔχειν τινὰ ἐξ ἀνθρώπων παράκλησιν· ὅσον γάρ τις ἔχει παράκλησιν ἐξ ἀνθρώπων, ἢ τινὸς τῶν ὁρωμένων, οὐ γίνεται τοιαύτη παράκλησις εἰς αὐτόν, εἰ μὴ δι᾿ οἰκονομίαν τινὰ χάριν τοῦ κοινοῦ καὶ μάρτυς τις τῶν Πατέρων ὑπὲρ ταύτης παρακαλέσας καὶ ἀκούσας· ἀρκεῖ σοι ἡ παράκλησις καὶ ὁμιλία τῶν ἀνθρώπων.

10. Καὶ ἕτερος δέ, Ἀναχωρητὴς πρότερον ὤν, καὶ ἐν τῇ ἀναχωρήσει συνεχοῦς ἀπολαύων τῆς ἐκ Θεοῦ παρακλήσεως, εἶτα γεγονὼς Ἐπίσκοπος, καὶ προσεγγίσας τῷ κόσμῳ, καὶ ζητήσας τὴν παράκλησιν κατὰ τὸ ἔθος, οὐχ εὗρε.

11. Καὶ ἐδεήθη τοῦ Θεοῦ δηλωθῆναι αὐτῷ τὴν αἰτίαν, δι᾿ ἣν τῆς συνήθους οὐκ ἐτύγχανε παρακλήσεως, λέγων· «μήτι, Κύριε, διὰ τὴν Ἐπισκοπὴν ἀπέστη ἡ Χάρις Σου ἀπ᾿ ἐμοῦ;» Καὶ ἐῤῥέθη αὐτῷ· «οὐχί· ἀλλ᾿ ὅτι νῦν ἐκ τῶν ἀνθρώπων ἔχεις παράκλησιν, ἢ καὶ ἀρκεῖ σοι· τότε δὲ ἐν ἐρήμῳ διάγων, καὶ μή τινα ὁρωμένην ἔχων παράκλησιν, ἐξ ἐμοῦ ἐδέχου ταύτην».

12. Οὐ ταὐτόν ἐστιν ἡ ὅρασις τῇ ἀποκαλύψει, ἀλλὰ διάφορον· ἡ μὲν γὰρ ὅρασις, ἀπὸ τῆς ἀποκαλύψεως δύναται λέγεσθαι, καθὸ γὰρ τὸ κρυπτὸν δι᾿ αὐτῆς φανεροῦται, δύναται πᾶσα ὅρασις ἀποκάλυψις λέγεσθαι, οὐκέτι δὲ ἡ ἀποκάλυψις ὅρασις· ἡ μὲν γὰρ ἀποκάλυψις, ὡς ἐπὶ πολὺ ἐπὶ τῶν γινωσκομένων καὶ ὑπὸ τοῦ νοῦ γευ μένων λαμβάνεται διὰ καθαρότητος.

13. Ἡ δὲ ὅρασις, ὡς ἐν εἰκόνι καὶ τύποις, ὡς ἐπίπαν γίνεται, ὥσπερ πάλαι πρὸς τοὺς ἀρχαίους ἐγίνοντο, εἴτε ἐγρηγορότος τοῦ ὁρῶντος, εἴτε ὡς ἐν ὕπνῳ κατεχομένου βαθεῖ καὶ ἐξεστηκότι· διὸ καὶ αὐτὸς ὁ ὁρῶν πολλάκις οὐ γινώσκει εἴτε ἐγρηγορῶν θεωρεῖ, εἴτε καθεύδων.

14. Καὶ ποτὲ μὲν αἱ ὁράσεις ἀκριβῶς καὶ τρανῶς δείκνυνται, πρόσωπον πρὸς πρόσωπον, ποτὲ δὲ ὡς ἐν τύπῳ καὶ ὡς ἐν φάσμασι ἀμυδρότερον, αἳ καὶ ἐπὶ τῶν ἀτελεστέρων γίνονται, ἐν τοῖς ἐρημικωτέροις τόποις, καὶ πόῤῥω τῶν ἀνθρώπων διεστηκόσιν, ἔνθα ἀναγκαίως δέεται αὐτῶν ὁ ἄνθρωπος, διὰ τὸ μὴ ἔχειν τινὰ ἐκ τοῦ τόπου βοήθειαν ἢ παράκλησιν.

Ἑρμηνεία

ΨΥΧΗ, ἡ ὁποία ἀγαπᾷ τὸν Θεόν, μόνον εἰς τὸν Θεὸν δύναται νὰ εὕρῃ τὴν ἀνάπαυσίν της. Προσπάθησε νὰ ἐλευθερώνῃς τὸν ἑαυτόν σου ἀπὸ κάθε σύνδεσμον μὲ τὸν ἐξωτερικὸν κόσμον, καὶ τότε ἀσφαλῶς θὰ ἠμπορέσῃς νὰ συνδέσῃς τὴν καρδίαν σου μὲ τὸν Θεόν· διότι τοῦ συνδέσμου μὲ τὸν Θεὸν προηγεῖται ἡ ἀπαλλαγὴ ἀπὸ τὰ δεσμὰ τῆς ὕλης.

2. Εἰς τὸ βρέφος δίδομεν νὰ φάγῃ ἄρτον, ἀφοῦ προηγουμένως τὸ ἀπογαλακτίσωμεν· καὶ ὁ ἄνθρωπος, ὁ ὁποῖος ἐπιθυμεῖ νὰ ἀνυψωθῇ εἰς τὸ ἐπίπεδον τῆς Χάριτος καὶ νὰ διευρύνῃ τὸν ψυχικόν του κόσμον εἰς τὰ θεῖα, ὀφείλει προηγουμένως νὰ ἀποξενωθῇ ἀπὸ ὅλας τὰς κοσμικὰς ματαιότητας, ὅπως ἀκριβῶς τὸ νήπιον, πρὶν λάβῃ στερεὰν τροφήν, ἀποκόπτεται ἀπὸ τοὺς μητρικοὺς μαστούς.

3. Εἰς τοὺς πνευματικοὺς ἀγῶνας ἡ σωματικὴ ἐργασία (δηλαδὴ αἱ σωματικαὶ κακουχίαι, ἡ νηστεία κ.λ.π.), προηγεῖται τῆς ψυχικῆς (δηλαδὴ τῆς νοερᾶς προσευχῆς καὶ τῆς θεωρίας), ὅπως ἀκριβῶς εἰς τὴν δημιουργίαν τοῦ Ἀδὰμ προηγήθη ἡ ἐκ τοῦ χώματος διάπλασις τοῦ σώματος καὶ ἐπηκολούθησεν ἡ πνοὴ διὰ τὴν δημιουργίαν τῆς ψυχῆς (Γεν. β΄ 7). Ἐκεῖνος, ποὺ δὲν εὐδοκίμησεν εἰς τὴν σωματικὴν ἐργασίαν, οὔτε καὶ εἰς τὴν ψυχικὴν θὰ δυνηθῇ θὰ καρποφορήσῃ, διότι ἡ ψυχικὴ ἐργασία γεννᾶται ἐκ τῆς σωματικῆς, ὅπως ἀκριβῶς τὸ στάχυ ἀπὸ τὸν γυμνὸν κόκκον.

4. Ἐκεῖνος, ποὺ δὲν εὐδοκίμησεν εἰς τὴν ψυχικὴν ἐργασίαν, ἔχει στερηθῇ ἀπὸ τὰ πνευματικὰ χαρίσματα. Ποῖος ἐξ ἐκείνων, ποὺ ἀγαποῦν τὰς φλυαρίας, θὰ ἠμπορέσῃ νὰ ἀποκτήσῃ καθαρὰν διάνοιαν; Ἢ ἐκεῖνος ποὺ εἶναι ἀκόλαστος καὶ ἔχει ἐμφανῆ τὰ συμπτώματα τῆς ἠθικῆς παραλυσίας εἰς τὰ μέλη του, εἶναι ποτὲ δυνατὸν νὰ καταστῇ ταπεινὸς τῇ καρδίᾳ καὶ γαλήνιος;

5. Ὅταν μὲν ὁ νοῦς παρασύρεται ἀπὸ τὰς αἰσθήσεις, τότε μαζὶ μὲ αὐτὰς θὰ τρέφεται ἀπὸ τὴν τροφὴν τῶν θηρίων (τὰ πάθη)· ἀφ' ὅτου ὅμως αἱ αἰσθήσεις συγκρατηθῶσιν ὑπὸ τοῦ νοῦ, τότε μαζὶ μὲ αὐτόν, θὰ μεταλαμβάνουν ἐκ τῆς τροφῆς τῶν Ἀγγέλων (τὰ χαρίσματα τοῦ Πνεύματος).

Ἐρώτησις

6. Ποία εἶναι ἡ αἰτία τῶν ὁράσεων καὶ τῶν ἀποκαλύψεων; Καὶ πῶς συμβαίνει μερικοὶ μὲν νὰ ἀξιώνωνται νὰ βλέπουν ὁράσεις καὶ ἀποκαλύψεις (καίτοι ἴσως δὲν ἐκοπίασαν πολὺ εἰς ἀσκητικοὺς καὶ πνευματικοὺς ἀγῶνας), ἐνῷ, ἀντιθέτως, ἄλλοι, καίτοι ἐμόχθησαν καὶ ἐκακοπάθησαν περισσότερον ἀπὸ τοὺς προηγουμένους, ἐν τούτοις τίποτε ἀπὸ αὐτὰ τὰ πνευματικὰ χαρίσματα δὲν ἐπέτυχον;

Ἀπάντησις

7. Αἱ αἰτίαι αὐτῶν, ποὺ ἐρωτᾷς, εἶναι πολλαὶ καὶ διάφοροι· ὡς ἐπὶ τὸ πλεῖστον ὅμως ὁράσεις καὶ ἀποκαλύψεις κατὰ τρεῖς τρόπους οἰκονομεῖ ὁ Θεὸς νὰ ἀποκαλύπτωνται εἰς τοὺς ἀνθρώπους, χάρις εἰς τὸ πρὸς αὐτοὺς ἔλεος τοῦ Θεοῦ. Ἢ δηλαδὴ ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος ἀποκαλύπτεται εἰς τοὺς τελείους καὶ ἁγίους ἄνδρας καὶ ἐνεργεῖ παρ' αὐτοῖς διὰ τὴν καθαρότητα τῆς καρδίας αὐτῶν, ἢ ἀποκαλύπτεται εἰς τοὺς ἁπλουστέρους καὶ πέραν παντὸς μέτρου ἀθώους καὶ ἀκάκους, διότι ὁ τρόπος τῆς ζωῆς των εἶναι ἀπονήρευτος καὶ χωρὶς προσποίησιν, καί, ὡς ἐκ τούτου, δὲν κινδυνεύουν νὰ φθάσουν εἰς ἐπιβλαβῆ καὶ ἐπικίνδυνον ὑπερηφάνειαν, ἤ, τέλος, ἀποκαλύπτεται ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος εἰς ἐκείνους ποὺ ἐπυρακτώθησαν ἀπὸ τὸν ζῆλον τοῦ Θεοῦ, καὶ ἐγκατέλειψαν τελείως τὸν κόσμον καὶ τὰ τοῦ κόσμου, ἐξῆλθον δὲ γυμνοὶ διὰ νὰ συναντήσουν τὸν Θεὸν καὶ ἀνεχώρησαν μακρὰν ἀπὸ τοὺς ἀνθρώπους.

8. Εἰς αὐτοὺς ἀποκαλύπτεται ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος, διότι, λόγῳ τῆς μοναξιᾶς των, εἶναι ἐνδεχόμενον νὰ περιπέσουν εἰς δειλίαν, τοὺς περικυκλώνει δὲ καθ' ἑκάστην ὁ φόβος τοῦ θανάτου ἀπὸ πεῖναν ἢ ἀρρώστιαν ἢ ἄλλην περίστασιν, καὶ ὁ φόβος αὐτὸς εἶναι, πολλάκις, τόσον ἔντονος, ὥστε νὰ φθάνουν εἰς ἀπόγνωσιν.

9. Εἰς αὐτοὺς λοιπὸν τοὺς ἡρωϊκοὺς καὶ ἀποκόσμους Ἀναχωρητὰς ἀποστέλλει συχνὰ ὁ Θεὸς τὰς παρηγορίας Του, δι' ὁραμάτων καὶ ἀποκαλύψεων, ἐπειδὴ δὲν εἶναι δυνατὸν νὰ δοκιμάσουν καμμίαν παρηγορίαν ἀπὸ ἄνθρωπον. Διότι ὅσον ἕνας ἄνθρωπος ἔχει κάποιαν παρηγορίαν ἐκ μέρους τῶν συνανθρώπων του, ἤ, ἐν πάσῃ περιπτώσει, ἀπὸ τὰ αἰσθητὰ πράγματα, τότε δὲν προσφέρεται ὑπὸ τοῦ Θεοῦ τοιαύτη ὑπερφυσικὴ παρηγορία εἰς αὐτόν, ἐκτὸς ἐὰν ὁ Θεὸς τὸ ἐπιτρέψῃ, κατ' οἰκονομίαν, χάριν τῆς ψυχικῆς ὠφελείας τῶν ἄλλων. Ὡς μάρτυρα διὰ τὴν ἀλήθειαν τῶν ἀνωτέρω ἐπικαλοῦμαι ἕνα ἐκ τῶν Ἀσκητικῶν Πατέρων, ὅστις παρεκάλεσε τὸν Θεὸν νὰ τύχῃ μιᾶς τοιαύτης παρηγόρου ἀποκαλύψεως ἢ ἐνθαρρυντικοῦ ὁράματος καὶ ἤκουσε παρὰ τοῦ Θεοῦ· «σοῦ εἶναι ἀρκετὴ ἡ συναναστροφὴ μὲ τοὺς ἀνθρώπους καὶ ἡ ἐξ αὐτῶν παρηγορία».

10. Χαρακτηριστικὴ εἶναι καὶ ἡ περίπτωσις ἑνὸς ἄλλου εὐσεβοῦς καὶ ἐναρέτου ἀνθρώπου. Οὗτος ἦτο προηγουμένως Ἀναχωρητὴς καὶ ἀπελάμβανε συνεχῶς τὴν παρηγορίαν τοῦ Θεοῦ, δι' ὁραμάτων καὶ ἀποκαλύψεων, ἐφ' ὅσον παρέμενεν εἰς τὴν ἔρημον. Μετὰ ὁ Ἀναχωρητὴς αὐτὸς ἔγινεν Ἐπίσκοπος καί, κατὰ συνέπειαν, ἠναγκάσθη νὰ ἔλθῃ εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ λοιπὸν εὑρισκόμενος καὶ δυσανασχετῶν, ἐζήτησε, κατὰ τὴν πνευματικήν του συνήθειαν, τὴν παρηγορίαν ἀπὸ τὸν Θεόν, ὅπως ἐγένετο εἰς τὴν ἔρημον. Πλὴν ὅμως δὲν τοῦ ἐδόθη ἡ παρηγορία, τὴν ὁποίαν ἀνέμενε.

11. Περίλυπος τότε παρεκάλεσε τὸν Θεὸν νὰ τοῦ φανερωθῆ ἡ αἰτία, διὰ τὴν ὁποίαν δὲν ἀπελάμβανε πλέον τῆς γνωστῆς γλυκείας παρηγορίας. Μεταξὺ τῶν ἄλλων ἔλεγε προσευχόμενος πρὸς τὸν Θεόν· «μήπως, Κύριε μου, ἐπειδὴ ἔγινα Ἐπίσκοπος, ἔφυγεν ἡ Χάρις Σου ἀπὸ ἐμέ»; Εἰς τὴν ἐπίμονον παράκλησιν του, ὁ Θεὸς τοῦ εἶπε· «Δὲν ἐστερήθης τῆς ἀπὸ Θεοῦ παρηγορίας, ἐπειδὴ ἔγινες Ἐπίσκοπος· ἀλλ᾽ ἐπειδὴ τώρα οἱ ἄνθρωποι φροντίζουν διὰ σὲ καὶ σὲ περιποιοῦνται. Τότε ποὺ ἦσουν εἰς τὴν ἔρημον μόνος καὶ δὲν εἶχες καμμίαν αἰσθητὴν καὶ ὑλικὴν παρηγορίαν, ἐδέχεσο, κατ᾽ εὐθεῖαν ἀπὸ ἐμέ, τὴν παρηγορίαν, ποὺ εἶχες ἀνάγκην».

12. Ἡ ὅρασις δὲν εἶναι τὸ ἴδιον πρᾶγμα μὲ τὴν ἀποκάλυψιν· ὑπάρχει μεταξὺ τῶν δύο τούτων καταστάσεων διαφορά. Ἡ ὅρασις εἶναι δυνατὸν νὰ ὀνομασθῆ καὶ ἀποκάλυψις, ἐπειδὴ δι᾽ αὐτῆς φανερώνεται τὸ ἀποκεκρυμμένον ἀπὸ τὴν ἀνθρωπίνην γνῶσιν. Ἡ ἀποκάλυψις ὅμως δὲν ἔχει πάντοτε τὸν χαρακτῆρα τῆς ὁράσεως· διότι ἡ ἀποκάλυψις, ὡς ἐπὶ τὸ πλεῖστον, λαμβάνεται ὑπὸ τοῦ ἀνθρώπου, διὰ τῆς καθαρᾶς καρδίας, ἐφ᾽ ὅσον, δηλαδή, οὗτος ἐπέτυχε τὴν καθαρότητα τῆς καρδίας, ἀναφέρεται δὲ εἰς ζητήματα, τὰ ὁποῖα ἐπιζητεῖ νὰ γνωρίση καὶ νὰ δοκιμάση ὁ νοῦς.

13. Ἡ ὅρασις πάλιν, ὡς ἐπὶ τὸ πλεῖστον, αἰσθητοποιεῖται, διὰ συμβολικῶν εἰκόνων καὶ τύπων, ὅπως ἀκριβῶς συνέβαινε καὶ μὲ τοὺς ἀρχαίους Πατέρας, εἴτε ὁ ὁρῶν εὑρίσκεται εἰς κατάστασιν ἐγρηγόρσεως, εἴτε κατέχεται ἀπὸ βαθὺν ὕπνον καὶ περιπίπτει εἰς ἔκστασιν. Δι᾽ αὐτό, πολλάκις, ὁ ὁρῶν τὴν ὑπερφυσικὴν ὅρασιν δὲν γνωρίζει ἐὰν θεωρῆ τὰ ὁρώμενα ξυπνητὸς ἢ ἐν ὕπνῳ.

14. Καὶ ἄλλοτε μὲν αἱ ὁράσεις δεικνύονται εἰς τὸν ὁρῶντα μὲ ἀκρίβειαν καὶ λεπτομέρειαν, πρόσωπον πρὸς πρόσωπον, ἄλλοτε πάλιν συνεσκιασμένως, διὰ μέσου ἀλληγορικῶν τύπων καὶ θεοπέμπτων ὀνείρων. Αἱ ὁράσεις αὐταὶ συμβαίνουν καὶ εἰς ἀνθρώπους, ποὺ δὲν ἔχουν ἀκόμη φθάσει εἰς μέτρον τελειότητος, ἀσκουμένους εἰς τόπους ἐρημικωτέρους, καὶ μακρὰν τῶν ἀνθρώπων παραμένοντας, ὅπου ὁ ἄνθρωπος ἔχει ἀνάγκην τῶν παρηγορητικῶν ὁράσεων, ἐπειδή, λόγῳ τῆς ἐρημίας τοῦ τόπου, δὲν εἶναι δυνατὸν νὰ εὕρη ἀπὸ πουθενὰ ἀλλοῦ βοήθειαν ἢ παρηγορίαν.

ϛ΄. Τοῦ Ἁγίου Μαξίμου.

ΩΣΠΕΡ ὁ ἥλιος ἀνατέλλων καὶ τὸν κόσμον φωτίζων, δείκνυσί τε ἑαυτόν, καὶ τὰ ὑπ᾽ αὐτοῦ φωτιζόμενα πράγματα, οὕτω καὶ ὁ τῆς Δικαιοσύνης Ἥλιος τῷ καθαρῷ ἀνατέλλων, καὶ ἑαυτὸν δείκνυσι, καὶ πάντων τῶν ὑπ᾽ αὐτοῦ γεγονότων καὶ γενησομένων τοὺς λόγους.

2. Οὐκ ἐκ τῆς οὐσίας Αὐτοῦ τὸν Θεὸν γινώσκομεν, ἀλλ᾽ ἐκ τῆς μεγαλουργίας καὶ Προνοίας τῶν ὄντων· διὰ τούτων γάρ, ὡς δι᾽ ἐσόπτρου, τὴν ἄπειρον ἀγαθότητα, καὶ σοφίαν, καὶ δύναμιν κατανοοῦμεν.

3. Ὁ ἐπαγγειλλάμενός σοι Χριστὸς τὰ αἰώνια ἀγαθὰ «καὶ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν», ἐνετείλατο ἐπιμελεῖσθαί σου τοῦ βίου, ἵνα ὁ ἔσω ἄνθρωπος τῶν παθῶν ἐλευθερωθείς, ἄρξηται ἀπεντεῦθεν τῆς τῶν ἀγαθῶν ἀπολαύσεως τῶν θείων καὶ ὑψηλῶν καταξιωθεὶς θεωρημάτων.

4. Σφόδρα ἐπιμελοῦ ἀγάπης καὶ ἐγκρατείας, ἵνα τὸ παθητικὸν μέρος τῆς ψυχῆς ἀτάραχον διαφυλάττων, ἀνέκλειπτον ἕξῃς τὸ τῆς ψυχῆς σου φέγγος.

5. Τὸ θυμικὸν τῆς ψυχῆς ἀγάπῃ χαλίνωσον, καὶ τὸ ἐπιθυμητικὸν αὐτῆς ἐγκρατείᾳ μάρανον, καὶ τὸ λογιστικὸν αὐτῆς προσευχῇ πτέρωσον, καὶ τὸ φῶς τοῦ νοῦ οὐκ ἀμαυροῦται ποτέ. Ἀγάπη καὶ ἐγκράτεια, παθῶν τὴν ψυχὴν ἐλευθεροῦσιν· ἀνάγνωσις δὲ καὶ θεωρία, ἀγνοίας τὸν νοῦν ἀπαλλάττουσιν· ἡ δὲ τῆς προσευχῆς κατάστασις, παρίστησιν αὐτὸν τῷ Θεῷ.

6. Ὁ Θεὸς «ἥλιός ἐστι δικαιοσύνης», ὡς γέγραπται, πᾶσιν ἁπλῶς τὰς ἀκτῖνας ἐπιλάμπων τῆς ἀγαθότητος· ἡ δὲ ψυχή, ἢ κηρὸς ὡς φιλόθεος, ἢ πηλὸς ὡς φιλόϋλος, κατὰ γνώμην πέφυκε γίνεσθαι.

7. Ὥσπερ οὖν ὁ πηλὸς ἡλίῳ ξηραίνεται, ὁ δὲ κηρὸς φυσικῶς ἁπαλύνεται, οὕτω καὶ πᾶσα ψυχὴ φιλόϋλος καὶ φιλόκοσμος, ὑπὸ Θεοῦ νουθετουμένη καὶ ὡς πηλὸς κατὰ γνώμην ἀντιτυποῦσα, σκληρύνεται, καὶ ἑαυτὴν ὠθεῖ, κατὰ τὸν Φαραώ, πρὸς ἀπώλειαν.

8. Ἡ δὲ φιλόθεος, ὡς κηρὸς ἁπαλύνεται, καὶ τοὺς τῶν Ἁγίων τύπους καὶ χαρακτῆρας εἰσδεχομένη, γίνεται Θεοῦ κατοικητήριον ἐν πνεύματι, καὶ τῷ φυσικῷ «κατ' εἰκόνα» καλῷ προστίθησι τὸ «καθ' ὁμοίωσιν» γνωμικὸν ἀγαθόν.

9. Δοξάζει τὸν Θεὸν ἐν ἑαυτῷ οὐχ ὁ λόγος μόνον γεραίρων τὸν Θεόν, ἀλλ' ὁ διὰ τὸν Θεὸν ὑπὲρ ἀρετῆς τὰ τῶν πόνων ὑπομένων παθήματα, καὶ ἀντιδοξάζεται παρὰ Θεοῦ, τὴν ἐν τῷ Θεῷ δόξαν οἷον ἀρετῆς ἔπαθλον κατὰ μέθεξιν τὴν τῆς ἀπαθείας κομιζόμενος Χάριν.

10. Πᾶς γὰρ ὁ δοξάζων τὸν Θεὸν ἐν ἑαυτῷ διὰ τῶν κατὰ τὴν πρακτικὴν ὑπὲρ ἀρετῆς παθημάτων, καὶ αὐτὸς ἐν τῷ Θεῷ δοξάζεται, διὰ τῆς κατὰ τὴν θεωρίαν ἀπαθοῦς ἐλλάμψεως.

11. Φησὶ γὰρ ὁ Κύριος ἐπὶ τὸ Πάθος ἐρχόμενος· «νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ· εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν»· ὡς ἐντεῦθεν εἶναι δῆλον, ὅτι τοῖς ὑπὲρ ἀρετῆς παθήμασιν, ἐπακολουθοῦσι τὰ θεῖα χαρίσματα.

12. Τὸ «ἤγγικε γὰρ ἡ Βασιλεία τῶν οὐρανῶν», οὐκ ἔστιν, ὡς οἶμαι, χρονικῆς συστολῆς· «οὐ γάρ, ἔρχεται ἡ Βασιλεία τοῦ Θεοῦ μετὰ παρατηρήσεως, οὐδὲ ἐροῦσιν ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ», ἀλλὰ τῆς πρὸς αὐτὴν τῶν ἀξίων αὐτῆς κατὰ διάθεσιν σχέσεώς ἐστιν· «ἡ Βασιλεία γάρ, τοῦ Θεοῦ, φησιν, ἐντὸς ὑμῶν ἐστιν».

13. Ἡ τοῦ Θεοῦ καὶ Πατρὸς Βασιλεία, δυνάμει μὲν ἐν πᾶσι ἐστὶ τοῖς πιστεύουσιν, ἐνεργείᾳ δέ, ἐν τοῖς ἀποθεμένοις, δι' ὅλης τῆς διαθέσεως, πᾶσαν τὴν κατὰ φύσιν ψυχῆς τε καὶ σώματος ζωήν, καὶ μόνην κτησαμένοις τὴν τοῦ Πνεύματος καὶ δυναμένοις λέγειν· «ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός».

Ἑρμηνεία

ΟΠΩΣ ἀκριβῶς, ὅταν ἀνατέλλῃ ὁ ἥλιος, φωτίζει τὸ σύμπαν, συγχρόνως δὲ καὶ ὁ ἴδιος φανερώνεται, ἀλλὰ καὶ τὰ ὑπ' αὐτοῦ φωτιζόμενα πράγματα φανερώνει, τοιουτοτρόπως καὶ ὁ Ἥλιος τῆς Δικαιοσύνης, ὅταν ἀνατέλλῃ εἰς τὴν ψυχὴν τοῦ καθαροῦ, καὶ ὁ ἴδιος ἀποκαλύπτεται εἰς τὸν καθαρὸν τῇ καρδίᾳ (Ματθ. ε' 8), ἀλλὰ καὶ ἀποκαλύπτει εἰς αὐτὸν τοὺς λόγους καὶ τὰς αἰτίας τῶν ὑπὸ τοῦ Νοητοῦ αὐτοῦ Ἡλίου τῆς Δικαιοσύνης γενομένων καὶ γενησομένων.

2. Τὸν Θεὸν δὲν ἠμποροῦμεν νὰ τὸν γνωρίσωμεν ἐκ τῆς οὐσίας Του, ἀλλὰ μόνον ἐκ τῆς θαυμαστῆς καὶ μεγαλειώδους Δημιουργίας Του καὶ τῆς Προνοίας διὰ τὰ ὄντα. Δι' αὐτῶν λοιπὸν τῶν δύο, τῆς Δημιουργίας δηλαδὴ καὶ τῆς Προνοίας, κατανοοῦμεν, ὡς δι' ἐσόπτρου, τὴν ἄπειρον ἀγαθότητα καὶ σοφίαν καὶ δύναμιν τοῦ Θεοῦ.

3. Ὁ Χριστός, ὅστις σοῦ ὑπεσχέθη τὰ αἰώνια ἀγαθὰ «καὶ ἔχει προσφέρει (ὡς ἐγγύησιν τῶν ἐπαγγελιῶν) τὸν ἀρραβῶνα τοῦ Πνεύματος εἰς τὰς καρδίας ἡμῶν» (Β' Κορ. α' 22), σὲ προστάζει νὰ ἀφοσιωθῇς ἐπιμελῶς εἰς τὴν διόρθωσιν τοῦ βίου σου, διὰ νὰ ἀπελευθερωθῇ ὁ ἐσωτερικός σου ἄνθρωπος ἀπὸ τὰ πάθη καὶ νὰ ἀρχίσῃ οὕτω ἀπ' ἐδῶ, διὰ σέ, ἡ ἀπόλαυσις τῶν ἐπουρανίων ἀγαθῶν, καταξιούμενος, διὰ τῆς ψυχικῆς καθαρότητος, θείων καὶ ὑψηλῶν θεωρημάτων.

4. Φρόντιζε νὰ καλλιεργῇς πάρα πολὺ τὴν ἀγάπην καὶ τὴν ἐγκράτειαν, διὰ νὰ διατηρήσῃς ἤρεμον καὶ ἀτάραχον τὸ παθητικὸν μέρος τῆς ψυχῆς, καὶ διὰ νὰ ἔχῃς πάντοτε, τοιουτοτρόπως, ἄδυτον τὴν λαμπρότητα τῆς ψυχῆς σου καὶ χωρὶς κίνδυνον ἀφανισμοῦ τῆς ἐπ' αὐτὴν θείας φεγγοβολῆς.

5. Τὸ θυμικὸν μέρος τῆς ψυχῆς χαλιναγώγησέ το μὲ τὴν ἀγάπην· τὸ ἐπιθυμητικὸν μάρανέ το μὲ τὴν ἐγκράτειαν καὶ δῶσε πτερὰ εἰς τὸ λογιστικὸν μὲ τὴν προσευχήν[1]· τότε νὰ εἶσαι βέβαιος πὼς ποτὲ δὲν θὰ σκοτεινιάσῃ τὸ φῶς τοῦ νοῦ σου. Ἡ ἀγάπη καὶ ἡ ἐγκράτεια ἐλευθερώνουν τὴν ψυχὴν ἀπὸ τὰ πάθη· ἡ δὲ ἀνάγνωσις καὶ θεωρία ἀπαλλάσσουν τὸν νοῦν ἀπὸ τὴν ἄγνοιαν· τέλος ἡ συνεχὴς καὶ ἐνσυνείδητος προσευχὴ παρουσιάζουν τὸν ἄνθρωπον, ποὺ θὰ κατορθώσῃ ὅλα αὐτά, ἐνώπιον τοῦ Θεοῦ.

6. Ὁ Θεός, ὅπως ἀναφέρεται εἰς τὴν Ἁγίαν Γραφήν, εἶναι «Ἥλιος Δικαιοσύνης» (Μαλαχ. δ' 2), ποὺ σκορπίζει τὰς λαμπρὰς ἀκτῖνας τῆς ἀγαθότητός Του εἰς ὅλους ὁμοίως· ἡ δεχομένη ὅμως τὰς ἀκτῖνας αὐτὰς ψυχή, καθίσταται, κατὰ τὴν ἐλευθέραν αὐτῆς γνώμην καὶ προαίρεσιν, ἢ κηρός, ὅταν εἶναι φιλόθεος, ἢ πηλός, ὅταν ἀγαπᾷ τὴν ὕλην.

7. Ὅπως λοιπὸν ἀκριβῶς ὁ πηλὸς (ἡ λάσπη) ξηραίνεται ἀπὸ τὰς ἀκτῖνας τοῦ ἡλίου, ὁ δὲ κηρὸς κατὰ φυσικὴν ἀκολουθίαν ἁπαλύνεται καὶ καθίσταται εὔπλαστος, τοιουτοτρόπως συμβαίνει καὶ μὲ κάθε ψυχὴν ποὺ ἀγαπᾷ τὸν κόσμον καὶ τὴν ὕλην· ὅταν ἡ ψυχὴ αὐτή, ποὺ παρομοιάζεται, κατὰ τὴν ἐλευθέραν αὐτῆς γνώμην καὶ προαίρεσιν μὲ τὸν πηλόν, νουθετεῖται ἀπὸ τὸν Θεόν, σκληρύνεται καὶ ἐξωθεῖται, ὑπὸ τῆς σκληρᾶς της γνώμης, πρὸς τὴν καταστροφήν, ὅπως ὁ Φαραώ.

8. Ἀντιθέτως ἡ φιλόθεος ψυχὴ ἁπαλύνεται καὶ πλάσσεται ὅπως τὸ κερί, καὶ δεχομένη ἐπ' αὐτῆς τοὺς τύπους καὶ τοὺς χαρακτῆρας τῶν Ἁγίων καὶ τὰ καλά των παραδείγματα, γίνεται, κατὰ τὸ πνεῦμα, κατοικητήριον τοῦ Θεοῦ καὶ οὕτω εἰς τὸ φυσικὸν καλόν, τὸ «κατ' εἰκό-

1) Βλέπε ὑποσημείωσιν σελ. 205.

να», προσθέτει τὸ ἐκ τῆς ἐλευθέρας αὐτῆς γνώμης ἐπιτελούμενον ἀγαθόν, τὸ «καθ' ὁμοίωσιν» (Γεν. α' 26).

9. Δοξάζει τὸν Θεὸν ὁ ἄνθρωπος οὐχὶ μόνον μὲ τὸν λόγον, ὅστις μεγαλύνει τὸν Θεὸν διὰ σκέψεων καὶ ἐκφράσεων εὐλαβῶν, ἀλλὰ καὶ ἐφ' ὅσον, χάριν τοῦ Θεοῦ, ὑπομένει ἀγογγύστως τοὺς πόνους καὶ τὰς ταλαιπωρίας ὑπὲρ τῆς ἀρετῆς· ὁ τοιοῦτος ἀντιδοξάζεται παρὰ τοῦ Θεοῦ, λαμβάνων τὴν ἐν τῷ Θεῷ δόξαν. Καὶ ἡ δόξα αὐτή, ὡς εἶδος ἐπάθλου διὰ τὴν ἀρετήν, εἶναι ἡ Χάρις, τὴν ὁποίαν ἀποκομίζει ὁ ἐνάρετος κατὰ μέθεξιν τῆς ἀπαθείας.

10. Διότι κάθε ἕνας, ποὺ δοξάζει τὸν Θεόν, διὰ τῆς προσωπικῆς του ὑπὲρ τοῦ ἀγαθοῦ προσπαθείας, δηλαδὴ διὰ τῶν παθημάτων τὰ ὁποῖα ὑφίσταται κατὰ τὴν ἄσκησιν εἰς τὸν πρακτικὸν βίον, χάριν τῆς ἀρετῆς, καὶ αὐτὸς ἀντιδοξάζεται παρὰ τοῦ Θεοῦ διὰ τῆς ἐσωτερικῆς ἐλλάμψεως, τὴν ὁποίαν ἀπολαμβάνει, κατὰ τὴν μακρὰν παντὸς πάθους θεωρίαν τῶν θείων.

11. Ἰδοὺ σχετικῶς τὶ εἶπε καὶ ὁ Κύριος μας, ὅταν ἤρχετο εἰς τὸ Πάθος· «τώρα ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη δι' Αὐτοῦ· ἐφ' ὅσον λοιπὸν ὁ Θεὸς ἐδοξάσθη δι' Αὐτοῦ, καὶ ὁ Θεὸς θὰ δοξάσῃ Αὐτὸν δι' ἑαυτοῦ» (Ἰωάν. ιγ' 31—32). Ἀπὸ αὐτὰ γίνεται φανερόν, ὅτι τὰ παθήματα, χάριν τῆς ἀρετῆς, ἀκολουθοῦνται ἀπὸ τὰ πρὸς τὸν ἄνθρωπον ὑπὸ τοῦ Θεοῦ δωριζόμενα θεῖα χαρίσματα.

12. Τὸ ῥητὸν «ἔφθασεν ἡ Βασιλεία τῶν οὐρανῶν» (Ματθ. γ' 2, δ' 17), ὅπως νομίζω, δὲν ἐννοεῖ χρονικὸν περιορισμόν· διότι «ἡ Βασιλεία τοῦ Θεοῦ δὲν θὰ ἐπέλθῃ, κατόπιν παρατηρήσεων, οὔτε θὰ εἰποῦν οἱ ἄνθρωποι, νὰ ἐδῶ (εἶναι ὁ Χριστὸς) ἢ νὰ ἐκεῖ» (Λουκ. ιζ' 20—21). Σημαίνει τὸ ῥητὸν αὐτὸ τὸν βαθμὸν τῆς σχέσεως, ποὺ ἔχουν πρὸς τὴν Βασιλείαν τῶν οὐρανῶν οἱ ἄξιοι αὐτῆς, κατὰ λόγον ψυχικῆς διαθέσεως καὶ προαιρέσεως. Αὐτὸ τὸ ἐννοοῦμεν καὶ ἀπὸ τὴν συνέχειαν τοῦ αὐτοῦ εὐαγγελικοῦ ῥητοῦ· «Ἡ Βασιλεία τοῦ Θεοῦ εὑρίσκεται μέσα εἰς σᾶς» (Αὐτόθι).

13. Ἡ Βασιλεία τοῦ Θεοῦ καὶ Πατρός, δυνάμει μὲν εὑρίσκεται εἰς ὅλους τοὺς πιστεύοντας, ἐνεργείᾳ δὲ εἰς ἐκείνους μόνον ποὺ ἀποθέτουν, μὲ ὅλην τὴν προαίρεσιν καὶ διάθεσιν τὴν κατὰ φύσιν ζωὴν τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ ἀποκτοῦν μόνον τὴν ζωὴν τοῦ Πνεύματος· εἰς αὐτούς, οἱ ὁποῖοι δύνανται νὰ λέγουν, ὅπως ὁ Ἀπόστολος Παῦλος «Δὲν ζῶ πλέον ἐγώ· ζῇ δὲ ἐντός μου ὁ Χριστὸς» (Γαλ. β' 20).





·Ὑπόθεσις ΚΕ΄·

Ποσαχῶς ἡ θεία παραχώρησις καὶ ἐγκατάλειψις γίνεται, καὶ τίνα δεῖ ποιεῖν ἐν αὐταῖς, καὶ τὴν Χάριν ἀνακαλεῖσθαι τοῦ Πνεύματος.

Κατὰ πόσους τρόπους ἐπέρχεται ἡ θεία παραχώρησις καὶ ἐγκατάλειψις, καὶ τί πρέπει νὰ κάμνωμεν εἰς τὰς περιπτώσεις αὐτάς, ὥστε νὰ ἐπανέρχεται εἰς ἡμᾶς ἡ θεία Χάρις.



Α΄. Τοῦ Ἁγίου Διαδόχου.



Η ΜΕΝ παιδευτικὴ παραχώρησις οὐδαμῶς τὴν ψυχὴν τοῦ θείου φωτὸς ἀποστερεῖ· κρύπτει δὲ μόνον τὰ πολλὰ τοῦ νοῦ τὴν ἑαυτῆς παρουσίαν ἡ Χάρις, ἵνα προωθοῖτο ὥσπερ τὴν ψυχὴν τῇ πικρίᾳ τῶν δαιμόνων, εἰς τὸ μετὰ παντὸς πόνου καὶ πολλῆς ταπεινώσεως ἐκζητεῖν τὴν ἐκ Θεοῦ βοήθειαν, τὴν τοῦ ἐχθροῦ αὐτῆς κακίαν κατ᾽ ὀλίγον ἐπιγινώσκουσαν.

2. Ὃν τρόπον ἐὰν μήτηρ τὸ οἰκεῖον βρέφος ἀτακτοῦν περὶ τοὺς θεσμοὺς τῆς γαλουχίας, βραχὺ τῶν ἑαυτῆς ἀγκαλῶν ἐξωθείη, ἵνα καταπληττόμενον αὐτὸ ὑπό τινων σαπροειδῶν ἀνθρώπων περιεστώτων, ἢ θηρίων οἱωνδήποτε, μετὰ φόβου πολλοῦ καὶ δακρύων, εἰς τοὺς μητρῴους ἀνθυποστρέφει κόλπους.

3. Ἡ δὲ κατὰ ἀποστροφὴν γινομένη παραχώρησις, ὡσανεὶ δέσμιον παραδίδωσι τοῖς δαίμοσι τὴν μὴ θέλουσαν ψυχὴν ἔχειν τὸν Θεόν· ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς τέκνα, μὴ γένοιτο, ἀλλὰ βρέφη γνήσια τῆς τοῦ Θεοῦ εἶναι Χάριτος πιστεύομεν, μικραῖς παρακλήσεσι παρ᾽ αὐτῆς γαλουχούμενοι, ἵνα διὰ τῆς χρηστότητος αὐτῆς, φθάσωμεν ἐλθεῖν εἰς ἄνδρα τέλειον, «εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ».

4. Ἡ παιδευτικὴ παραχώρησις, φέρει μὲν λύπην πολλήν, καὶ ταπείνωσιν, καὶ ἀπελπισμὸν σύμμετρον τῇ ψυχῇ, ἵνα τὸ φιλόδοξον αὐτῆς καὶ εὐπτόητον μέρος, πρεπόντως εἰς ταπείνωσιν ἕλκῃ, εὐθέως δὲ φόβον Θεοῦ καὶ δάκρυον ἐξομολογήσεως ἐπάγει τῇ καρδίᾳ, καὶ τῆς καλλίστης σιωπῆς πολλὴν ἐπιθυμίαν.

5. Ἡ δὲ κατ᾽ ἀποστροφὴν τοῦ Θεοῦ γινομένη, ἀπελπισμοῦ ὁμοῦ, καὶ ἀπιστίας, καὶ ὀργῆς, καὶ τύφου τὴν ψυχὴν πληρωθῆναι παραχωρεῖ. Δεῖ οὖν ἡμᾶς εἰδότας τὴν πεῖραν τῶν ἀμφοτέρων παραχωρήσεων, κατὰ τὸν ἑκάστης τρόπον προσιέναι τῷ Θεῷ.

6. Ἐκεῖ μὲν γὰρ εὐχαριστίαν μετὰ τῆς ἀπολογίας προσάγειν Αὐτῷ ὀφείλομεν, ὡς τὸ τῆς γνώμης ἡμῶν ἀκόλαστον, τῇ σχολῇ τῆς παρακλήσεως κολάζοντι, ἵνα τῆς ἀρετῆς ἡμᾶς καὶ κακίας ὡς Πατὴρ ἀγαθὸς διδάσκῃ τὴν διαφοράν.

7. Ἐνταῦθα δέ, ἐξαγόρευσιν τῶν ἁμαρτημάτων ἄπαυστον, ὅπως ἂν οὕτω δυνηθῶμεν τῇ προσθήκῃ τῶν πόνων δυσωπῆσαι ποτὲ τὸν Θεὸν ἐπιβλέψαι ὡς τὸ πρὶν εἰς τὰς καρδίας ἡμῶν.

8. Πλὴν δεῖ εἰδέναι, ὅτι ὅταν κατ᾽ οὐσιώδη συμβουλὴν τῇ ψυχῇ καὶ τῷ

σατανᾶ μάχη γένηται, ἐπὶ τῆς παιδευτικῆς δὲ λέγω παραχωρήσεως, ὑποστέλλει μέν, ὡς ἤδη εἶπον, ἡ Χάρις ἑαυτήν, ἀγνώστῳ δὲ βοηθείᾳ συνεργεῖ τῇ ψυχῇ, ἵνα τὴν νίκην τῆς ψυχῆς εἶναι μόνον ὑποδεικνύῃ τοῖς ἐχθροῖς αὐτῆς.

9. Ἡ Χάρις τὴν ἀρχὴν ἐν αἰσθήσει πολλῇ τῇ ψυχῇ, τῷ οἰκείῳ εἴωθε περιαυγάζειν φωτί· προϊόντων δὲ τῶν ἀγώνων, ἀγνώστως τὰ πολλὰ ἐνεργεῖ τῇ θεολόγῳ ψυχῇ τὰ ἑαυτῆς μυστήρια, ἵνα τότε μὲν ἡμᾶς χαίροντας, εἰς τὸ ἴχνος ἐπιβάλλῃ τῶν θείων θεωρημάτων, ὡς ἐξ ἀγνωσίας εἰς γνῶσιν καλουμένους· ἐν δὲ μέσῳ τῶν ἀγώνων, ἀκενόδοξον ἡμῖν τὴν γνῶσιν διαφυλάττῃ.

10. Δεῖ οὖν ἡμᾶς λυπεῖσθαι συμμέτρως, ὡς ἐγκαταλειφθέντας, ἵνα πλέον ταπεινωθῶμεν καὶ ὑποταγῶμεν τῇ δόξῃ τοῦ Κυρίου· χαίρειν δὲ εὐκαίρως, τῇ ἀγαθῇ ἐλπίδι πτερουμένους· ὡς γὰρ ἡ πολλὴ λύπη, εἰς ἀπελπισμὸν καὶ ἀπιστίαν τῇ ψυχῇ περιΐστησιν, οὕτω καὶ ἡ πολλὴ χαρά, εἰς οἴησιν αὐτὴν προσκαλεῖται.

11. Ἐπὶ τῶν ἔτι δὲ νηπιαζόντων λέγω· φωτισμοῦ μὲν γὰρ καὶ ἐγκαταλείψεως τὸ μέσον, πεῖρα· λύπης δὲ καὶ χαρᾶς τὸ μέσον, ἐλπίς· «ὑπομένων» γάρ, φησιν, «ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι»· καὶ πάλιν· «κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου».

Ἑρμηνεία

Η ΠΑΙΔΕΥΤΙΚΗ παραχώρησις τοῦ Θεοῦ οὐδόλως ἀποστερεῖ τὴν ψυχὴν ἀπὸ τὸν φωτισμὸν τοῦ θείου φωτός· ἀποκρύπτει μόνον πολλάκις ἡ Χάρις τὴν παρουσίαν της ἀπὸ τὸν νοῦν τοῦ κατὰ παραχώρησιν παιδευομένου ἀνθρώπου, ὥστε νὰ παρακινηθῇ ἡ ψυχή, ὑπὸ τῆς πικρίας τῶν δαιμόνων πιεζομένη, νὰ ζητήσῃ μὲ πόνον καὶ πολλὴν ταπείνωσιν βοήθειαν ἀπὸ τὸν Θεόν, ἀντιλαμβανομένη ὀλίγον κατ᾽ ὀλίγον τὴν κακίαν τοῦ ἐχθροῦ αὐτῆς.

2. Κατὰ τὸν ἴδιον τρόπον καὶ ἡ μητέρα, ὅταν τὸ βρέφος της δυστροπῇ κατὰ τὴν ὥραν τῆς γαλουχίας, τὸ ἀφήνει ἐπ᾽ ὀλίγον ἀπὸ τὰς ἀγκάλας της, ὥστε νὰ φοβηθῇ ἀπὸ μερικοὺς ἀσχημανθρώπους, ποὺ θὰ εὑρίσκωνται πλησίον, ἢ ἀπὸ διάφορα ἄγρια ζῷα, καὶ τότε νὰ ἐπανέλθῃ συντόμως εἰς τὰ μητρικὰ στήθη δακρυσμένον καὶ καταφοβισμένον.

3. Ἡ παραχώρησις ὅμως ποὺ γίνεται ἐξ ἀποστροφῆς, παραδίδει τρόπον τινά, δεσμίαν εἰς τοὺς δαίμονας τὴν ψυχήν, ποὺ δὲν θέλει νὰ ζῇ πλησίον τοῦ Θεοῦ. Ἡμεῖς ὅμως δὲν εἴμεθα τέκνα τελοῦντα ὑπὸ αἰχμαλωσίαν· μὴ γένοιτο! Ἀπ᾽ ἐναντίας πιστεύομεν, ὅτι εἴμεθα γνήσια βρέφη τῆς Χάριτος τοῦ Θεοῦ, γαλουχούμενα ἀπὸ αὐτὴν καὶ παιδαγωγούμενα μὲ μικρὰς εἰς αὐστηρότητα νουθεσίας, ὥστε μὲ τὴν καλωσύνην τῆς θείας Χάριτος, νὰ δυνηθῶμεν νὰ γίνωμεν τέλειοι ἄνδρες «εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ» (Ἐφεσ. δ´ 13).

4. Ἡ παιδευτικὴ παραχώρησις προκαλεῖ μὲν εἰς τὴν ψυχὴν πολλὴν λύπην, καὶ ταπείνωσιν καὶ ἀνάλογον πρὸς τὴν ψυχικὴν ἀντοχὴν ἀπογοήτευσιν, διὰ νὰ ταπεινώσῃ τὴν φιλοδοξίαν της καὶ νὰ ἐκμηδενίσῃ τὸν εὔκολον φόβον αὐτῆς, πλὴν ὅμως φέρει ἀμέσως εἰς τὴν καρδίαν φόβον Θεοῦ καὶ δάκρυον ἐξομολογήσεως, καὶ ἐνισχύει τὴν ἐπιθυμίαν τῆς ὠφελιμωτάτης σιωπῆς.

5. Ἀντιθέτως ἡ κατ᾽ ἀποστροφὴν Θεοῦ ἐπερχομένη παραχώρη-

σις γεμίζει τὴν ψυχὴν ἀπὸ ἀπελπισίαν, μαζὶ μὲ ἀπιστίαν, ὀργὴν καὶ ὑπερηφάνειαν. Πρέπει λοιπὸν ἡμεῖς, ποὺ γνωρίζομεν τὶ συμβαίνει εἰς τὴν ψυχὴν καὶ κατὰ τὰς δύο παραχωρήσεις, νὰ ἐπιχειρῶμεν νὰ προσεγγίζωμεν τὸν Θεὸν συμφώνως μὲ τὸν τρόπον ποὺ ἁρμόζει εἰς ἑκάστην.

6. Εἰς τὴν περίπτωσιν τῆς παιδευτικῆς παραχωρήσεως, ὀφείλομεν νὰ εὐχαριστήσωμεν τὸν Θεὸν καὶ νὰ ἐξομολογηθῶμεν εἰς Αὐτόν, διότι μὲ τὰς πατρικάς, ἔστω καὶ αὐστηράς, νουθεσίας Του τιμωρεῖ τὸ ἀκόλαστον τῆς ψυχικῆς ἡμῶν προαιρέσεως, ἥτις, ἐὰν παραμείνῃ ἀτιμώρητος, θὰ ἐξελιχθῇ εἰς ἀξιοποίνους καὶ ἁμαρτωλὰς πράξεις· διὰ τῆς ἐνεργείας Του αὐτῆς ὁ Θεός, ὡς ἀγαθὸς καὶ φιλόστοργος Πατήρ, μᾶς βοηθεῖ νὰ διακρίνωμεν τὴν διαφορὰν μεταξὺ ἀρετῆς καὶ κακίας.

7. Εἰς τὴν περίπτωσιν τῆς κατ᾽ ἀποστροφὴν Θεοῦ παραχωρήσεως, πρέπει νὰ εἶναι συνεχὴς καὶ ἀκατάπαυστος ἡ ἐξαγόρευσις τῶν ἁμαρτημάτων, ὥστε διὰ τῆς αὐξήσεως τῶν κόπων τῆς μετανοίας, νὰ ἐξευμενίσωμεν τὸν Θεόν, προκειμένου νὰ ἐπιβλέψῃ, μὲ ἀγάπην, ὅπως καὶ πρότερον, εἰς τὰς καρδίας ἡμῶν.

8. Πρέπει ἀκόμη νὰ γνωρίζωμεν, εἰς τὴν περίπτωσιν τῆς παιδευτικῆς παραχωρήσεως, ὅτι ὅταν συμβῇ σφοδρὰ σύγκρουσις μεταξὺ τοῦ σατανᾶ καὶ τῆς ψυχῆς καὶ ἐξελιχθῇ εἰς σκληρὰν μάχην, ἡ θεία Χάρις περιορίζει αἰσθητῶς τὴν παρουσίαν της, χωρὶς νὰ παύσῃ νὰ βοηθῇ τὴν ψυχήν, μὲ ἀνεξερεύνητον ἀπὸ τὴν λογικὴν τρόπον· αὐτὸ δὲ συμβαίνει διὰ νὰ παρουσιασθῇ εἰς τοὺς ἐχθροὺς τῆς ψυχῆς ἡ κατ᾽ αὐτῶν νίκη ὡς ἀποκλειστικὸν αὐτῆς κατόρθωμα.

9. Ἡ παρουσία τῆς θείας Χάριτος εἰς τὴν ψυχήν μας, κατὰ τὴν ἔναρξιν τῶν πνευματικῶν ἀγώνων, γίνεται ἀρκετὰ αἰσθητή, ἐπειδὴ τὴν φωτίζει μὲ τὸ ἰδικόν της φῶς· ἐν ὅσῳ δὲ προχωροῦν οἱ πνευματικοὶ ἀγῶνες, ἐπὶ τοσοῦτον καὶ ἡ θεία Χάρις ἐπενεργεῖ ἐπὶ τῆς θεοσεβοῦς ψυχῆς τὰς μυστηριώδεις καὶ ὑπὲρ λόγον ἐνεργείας της, διὰ νὰ μᾶς τοποθετήσῃ, πλήρεις χαρᾶς καὶ ἀγαλλιάσεως, ἐπὶ τὰ ἴχνη ὀπτασιῶν καὶ θεϊκῶν ἀποκαλύψεων. Ἡ τοιαύτη ἐνέργεια τῆς θείας Χάριτος ἔχει τὸν χαρακτῆρα κλήσεως τῆς ψυχῆς μας ἀπὸ τὴν ἀγνωσίαν εἰς τὴν γνῶσιν τοῦ κόσμου τῆς ὑπερφυσικῆς ὡραιότητος. Κατὰ τὸ μέσον δὲ καὶ τὴν ἀκμὴν τῶν πνευματικῶν ἀγώνων ἡ θεία Χάρις μᾶς περιφρουρεῖ, ὥστε νὰ μὴ περιπέσωμεν εἰς κενοδοξίαν, ἐξ αἰτίας τῆς ἀποκτηθείσης, κατὰ τὰ ἀνωτέρω, γνώσεως.

10. Πρέπει λοιπὸν ἡμεῖς νὰ λυπούμεθα, ἐντὸς πάντοτε τῶν ὁρίων, ὡς νὰ ἔχωμεν ἐγκαταλειφθῆ, διὰ νὰ ταπεινωθῶμεν ἀκόμη περισσότερον καὶ νὰ ὑποταχθῶμεν εἰς τὴν δόξαν τοῦ Κυρίου· ἐπ᾽ εὐκαιρίᾳ δὲ τῆς τοιαύτης ψυχικῆς ἀλλοιώσεως, πρέπει νὰ χαίρωμεν, διότι ἡ καλὴ ἐλπὶς μᾶς δίδει πτερά. Τόσον δὲ ἡ χαρά, ὅσον καὶ ἡ λύπη, τὰς ὁποίας θὰ δοκιμάζωμεν, θὰ πρέπει νὰ εἶναι σύμμετροι καὶ συγκρατημέναι, διότι ὅπως ἡ ἀπεριόριστος λύπη ὁδηγεῖ τὴν ψυχὴν εἰς ἀπελπι-

σίαν καὶ ἀπιστίαν, τοιουτοτρόπως καὶ ἡ ὑπερβολικὴ χαρὰ εἶναι ἐνδεχόμενον νὰ παρασύρῃ τὴν ψυχὴν εἰς ὑπερηφάνειαν.

11. Δι' ἐκείνους δέ, οἱ ὁποῖοι κατὰ τὴν πρόοδον τῆς πνευματικῆς ζωῆς εἶναι ἀκόμη νήπιοι, λέγω καὶ τοῦτο· ἡ μεσότης καὶ τὸ σύνορον μεταξὺ φωτισμοῦ καὶ ἐγκαταλείψεως εἶναι ἡ δοκιμασία καὶ ἡ ὑπομονή· ὅπως μεταξὺ λύπης καὶ χαρᾶς σύνορον καὶ μεσότης εἶναι ἡ ἐλπίς. Ἰδοὺ σχετικῶς τὶ λέγει καὶ ὁ Προφητάναξ Δαβίδ· «ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι» (Ψαλμ. λθ' 1). Εἰς ἄλλο δὲ σημεῖον· «κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου» (Ψαλμ. ϟγ' 19).

Β'. Τοῦ Ἁγίου Μαξίμου.

ΤΕΣΣΑΡΕΣ εἰσὶ γενικοὶ ἐγκαταλείψεως τρόποι· ἡ μὲν οἰκονομικὴ ὡς ἐπὶ τοῦ Κυρίου, ἵνα διὰ τῆς δοκούσης ἐγκαταλείψεως, οἱ ἐγκαταλελειμμένοι σωθῶσιν· ἡ δὲ πρὸς δοκιμήν, ὡς ἐπὶ τοῦ Ἰὼβ καὶ Ἰωσήφ, ἵνα ὁ μὲν ἀνδρείας, ὁ δὲ σωφροσύνης στῆλαι ἀναφανῶσιν· ἡ δὲ πρὸς παίδευσιν πατρικήν, ὡς ἐπὶ τοῦ Ἀποστόλου, ἵνα ταπεινοφρονῶν, τὴν ὑπερβολὴν φυλάξῃ τῆς Χάριτος· ἡ δὲ κατ' ἀποστροφήν, ὡς ἐπὶ τῶν Ἰουδαίων, ἵνα κολαζόμενοι, πρὸς μετάνοιαν καμφθῶσι.


2. Σωτήριοι δὲ πάντες τρόποι ὑπάρχουσι, καὶ τῆς θείας ἀγαθότητος καὶ φιλανθρωπίας ἀνάμεστοι.

Ἑρμηνεία

ΥΠΑΡΧΟΥΝ τέσσαρες γενικαὶ περιπτώσεις ἐγκαταλείψεως τοῦ ἀνθρώπου ὑπὸ τοῦ Θεοῦ. Πρῶτον, ἡ κατ' οἰκονομίαν, διὰ νὰ σωθῶσιν οἱ ἐγκαταλελειμμένοι διὰ τῆς νομιζομένης ἐγκαταλείψεως. Τὸ τοιοῦτον συνέβη εἰς τὸν Κύριον (Ματθ. κζ' 46, Μάρκ. ιε' 34). Δεύτερον, ἡ πρὸς δοκιμὴν ἐγκατάλειψις, ὅπως συνέβη εἰς τὴν περίπτωσιν τοῦ Ἰὼβ (Ἰὼβ α' 12, β' 6) καὶ τοῦ Ἰωσὴφ (Γεν. λζ' 18—28), διὰ νὰ ἀναφανῶσιν ὁ μὲν πρῶτος στήλη ἀνδρείας, ὁ δὲ δεύτερος στήλη σωφροσύνης. Τρίτον, πρὸς πατρικὴν παίδευσιν, ὥστε ὁ ἄνθρωπος, ταπεινοφρονῶν ἐκ τῆς νομιζομένης ἐγκαταλείψεως, νὰ διαφυλάξῃ τὸν πλούσιον θησαυρὸν τῆς Χάριτος, ὅπως συνέβη εἰς τὴν περίπτωσιν τοῦ Ἀποστόλου Παύλου (Β' Κορ. ιβ' 7). Τέταρτον, ἡ ἐξ ἀποστροφῆς ἐγκατάλειψις, ὥστε οἱ ἄνθρωποι τιμωρούμενοι νὰ ὑποχρεωθῶσι πρὸς μετάνοιαν, ὅπως εἰς τὴν περίπτωσιν τῶν Ἰουδαίων (Ἱερ. κε' 8—13, Β' Παραλ. λς' 6—21, Λουκ. ιθ' 41—44 καὶ ἀλλαχοῦ).

2. Ὅλοι αὐτοὶ οἱ τρόποι ἀποβλέπουν εἰς τὴν σωτηρίαν τοῦ ἀνθρώπου καὶ εἶναι γεμᾶτοι ἀπὸ τὴν καλωσύνην καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ.

+ Ματαιότης ματαιοτήτων
τὰ πάντα ματαιότης :—



·ὙΠΌΘΕΣΙΣ ΚΣΤ΄·

῞Οτι ἡ θεωρία τὸν νοῦν ἐξίστησι, καὶ πάντων τῶν ἐνταῦθα παρασκευάζει ἐπιλανθάνεσθαι· καὶ ὅτι ἡ τοῦ Πνεύματος Χάρις τοῖς τελείοις τὰ πάντα γίνεται, καὶ τροφὴ καὶ πόσις καὶ ἔνδυμα, διὸ καί τινες τῶν Ἁγίων, τούτοις ἢ οὐδόλως ἢ παρὰ μικρὸν ὑπὲρ φύσιν ἐχρῶντο ὑπὸ τῆς Χάριτος δυναμούμενοι.

Ἡ θεωρία διεγείρει τὸν νοῦν καὶ τὸν κάμνει νὰ λησμονῇ ὅλα τὰ γήϊνα. Ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος γίνεται διὰ τοὺς τελείους τὸ πᾶν καὶ τροφή, καὶ ποτὸν καὶ ἔνδυμα· δι' αὐτὸν τὸν λόγον καὶ μερικοὶ ἐκ τῶν Ἁγίων, ἐνδυναμούμενοι ὑπὸ τῆς Θείας Χάριτος, ἢ οὐδόλως ἐχρησιμοποίουν τὰ ὑλικὰ αὐτὰ ἐφόδια, ἢ κατ' ἐλάχιστον τὰ ἐχρησιποίουν, κατανικῶντες τοὺς ὅρους τῆς φύσεως.

Ε΄. Ἐν τῷ Γεροντικῷ.



ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ, ὅτι ποτὲ ἔπλεξε σειρὰν δύο σπυρίδων, καὶ ἔῤῥαψεν αὐτὴν μίαν σπυρίδα, καὶ οὐκ ἐννόησεν ἕως οὗ προσήγγισε τῷ τοίχῳ· ἦν γὰρ ὁ νοῦς αὐτοῦ σχολάζων τῇ θεωρίᾳ.

2. Ἄλλοτε πάλιν ἦλθεν ἀδελφός τις λαβεῖν σπυρίδας παρ' αὐτοῦ καὶ ἔκρουσεν. Ἐξελθὼν δὲ ὁ Γέρων, λέγει αὐτῷ· τί θέλεις, ἀδελφέ; Ὁ δὲ εἶπε· σπυρίδας, Ἀββᾶ· εἰσελθὼν δὲ ἐκβαλεῖν αὐτὰς ἐπελάθετο, καὶ ἐκάθισε ῥάπτειν.

3. Βραδύνοντος δὲ αὐτοῦ, ἔκρουσεν ὁ ἀδελφὸς πάλιν Καὶ ὡς ἐξῆλθε, λέγει αὐτῷ· φέρε τὰς σπυρίδας, Ἀββᾶ. Καὶ εἰσελθὼν ὁ Γέρων, ἐπελάθετο πάλιν, καὶ ἐκάθισε ῥάπτειν.

4. Βραδύνοντος δὲ αὐτοῦ ἔκρουσε πάλιν ὁ ἀδελφός. Καὶ ἐξελθὼν ὁ Γέρων λέγει· τί θέλεις, ἀδελφέ; Ὁ δὲ εἶπε· τὰς σπυρίδας, Ἀββᾶ· καὶ κρατήσας αὐτοῦ τὴν χεῖρα, εἰσήνεγκεν αὐτὸν ἔσω λέγων· εἰ σπυρίδας θέλεις, λάβε καὶ περιπάτει· ἐγὼ γὰρ οὐ σχολάζω.

5. Ἄλλοτε πάλιν ἦλθέ τις καμηλίτης, ἵνα λάβῃ τὰ σκεύη αὐτοῦ καὶ ἀπέλθῃ εἰς ἄλλον τόπον· ὁ δὲ εἰσελθὼν ἐνέγκαι αὐτῷ σειράν, ἐπελάθετο, τεταμένην ἔχων τὴν διάνοιαν πρὸς τὸν Θεόν.

6. Πάλιν οὖν ὤχλησεν ὁ καμηλίτης κρούων, καὶ ἐξελθὼν καὶ μαθὼν ὃ λέγει, εἰσῆλθεν ὁ Γέρων καὶ ἐπελάθετο.

7. Τὸ δὲ τρίτον, κρούσαντος τοῦ καμηλίτου, ἠρώτησεν ὁ Γέρων τὶ θέλει καὶ μαθών, εἰσερχόμενος ἔλεγε· σειρὰ κάμηλος, σειρὰ κάμηλος, καὶ τοῦτο ἔλεγεν, ἵνα μὴ ἐπιλάθηται.

8. Ἔλεγεν ὁ Ἀββᾶς Ἀβραὰμ περί τινος τῶν Πατέρων, ὅτι γραφεὺς ἦν,

καὶ ἦλθεν ἀδελφὸς παρακαλῶν αὐτὸν γράψαι αὐτῷ βιβλίον. Ὁ οὖν Γέρων, ἔχων τὸν νοῦν αὐτοῦ εἰς τὴν θεωρίαν, ἔγραψε παραστίχους καὶ οὐκ ἔστιξεν.

9. Ὁ δὲ ἀδελφὸς λαβὼν τὸ βιβλίον καὶ θέλων στίξαι, εὗρε παρὰ λόγους, καὶ λέγει τῷ Γέροντι· παρὰ στίχους ἐστίν, Ἀββᾶ. Λέγει αὐτῷ ὁ Γέρων· ὕπαγε πρῶτον ποίησον τὰ γεγραμμένα, καὶ τότε ἔρχῃ καὶ γράφω σοι καὶ τὴν λοιπάδα.

10. Καθημένου ποτὲ τοῦ Ἀββᾶ Ἰσαὰκ πρὸς τὸν Ἀββᾶν Ποιμένα, ἠκούσθη φωνὴ ἀλέκτορος, καὶ λέγει αὐτῷ· ἔνι ταῦτα ὧδε, Ἀββᾶ; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Ἰσαάκ, τί ἀναγκάζεις με λαλῆσαι; σὺ καὶ οἱ ὅμοιοί σου ἀκούετε τούτου, τῷ δὲ νήφοντι οὐ μέλει περὶ τούτου.

11. Πολλάκις ἔλεγε τῷ Ἀββᾷ Σισώῃ ὁ μαθητὴς αὐτοῦ, ἐνστάσης τῆς τεταγμένης ὥρας· Ἀββᾶ, ἀνάστα φάγωμεν. Ὁ δὲ πρὸς αὐτὸν ἔφασκεν· οὐκ ἐφάγομεν, τέκνον; Καὶ ἀπεκρίνατο ὁ μαθητής· οὐχί, Πάτερ. Καὶ ἔλεγεν ὁ Γέρων· εἰ οὐκ ἐφάγομεν, φέρε καὶ ἐσθίωμεν.

Σχόλιον τοῦ Πατρός, ἤγουν τοῦ Εὐεργετινοῦ.

α'. Οὗτος ὁ Γέρων τῆς τοῦ Ἁγίου Πνεύματος ἐπεπλήρωτο ἐνεργείας καὶ Χάριτος, ὡς μὴ μόνον πείνης ἀπηλλάχθαι, καὶ δίψης τῶν αἰσθητῶν, ἀλλὰ καὶ ἀναισθητεῖν ὅλως, εἰ μετέλαβεν ἢ οὐ τῆς ὁρατῆς βρώσεως· τρεφόμενος γὰρ ὑπὸ τοῦ Θεοῦ τὴν ἄῤῥευστον τροφὴν καὶ ἀκένωτον, ταύτης πλήρης πάντοτε ἦν, διὸ καὶ ἀναισθήτως εἶχε περὶ τὴν φαινομένην μετάληψιν.

β'. Τοῦτο καὶ πολλοὶ μὲν τῶν Ἁγίων ἔσχον παρὰ Θεοῦ, καὶ ἢ ἐλαχίστην, ἢ διὰ χρόνου μακροῦ, τῆς αἰσθητῆς μετελάμβανον βρώσεως καὶ αὐτὸς δὲ ὁ Κύριος, ὁ ἀρχηγὸς τῆς σωτηρίας, καὶ τῶν παρὰ Θεοῦ χαρισμάτων τῇ φύσει γενόμενος, ἀφ' ἑαυτοῦ ἔδειξε κατὰ τὸ ἀνθρώπινον· γέγραπται γὰρ περὶ Αὐτοῦ, ὅτι «νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασε».

γ'. Δηλοῦντος τοῦ λόγου, ὡς πρότερον οὐκ ἐπείνα, πλήρης ὢν τῆς ἐνεργείας τοῦ Πνεύματος, τότε δὲ ὑποσταλείσης τῆς Χάριτος, ἵνα δῷ τῷ πειράζοντι ἀφορμὴν τῆς πρὸς Αὐτὸν πάλης, ἐπείνασε οἷα ἄνθρωπος· τὸ γὰρ πρότερον, ὑπὲρ ἄνθρωπον ἦν, οἷα μὴ ἐξαρκούσης τῆς φύσεως μήτοιγε ἡμερονύκτια τεσσαράκοντα, ἀλλὰ μηδὲ ἑβδομάδα μίαν ἡμερῶν διενεγκεῖν καὶ συνίστασθαι ἄνευ βρώσεως.

δ'. Ὅτι δὲ ἀληθὲς τὸ εἰρημένον, αὐτὰ δηλώσουσι σαφῶς τὰ ῥήματα, ἃ εἶπεν, ἀνατρέπων αὐτοῦ τὴν κακουργίαν· εἰρωνικὴν γὰρ πρότασιν εἰρηκότος ἐκείνου· «εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται», καὶ οἷον εἰς βλασφημίαν αὐτὸν προτρέποντος, ὅτι μὴ ὁ Πατήρ, ὁ μαρτυρήσας αὐτὸν ἐν τῷ ὑπὸ Ἰωάννου βαπτίζεσθαι, τροφὴν Αὐτῷ ἐχορήγησεν, ἡμέρας ἤδη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ νήστει διάγοντι καὶ πεινῶντι ὡς νῦν.

ε'. Οὕτω γὰρ ὁ τῆς ἀληθείας πολέμιος ὑπελάμβανε, καὶ διὰ τῆς ἀδυνάτου προτάσεως, ἤτοι τοὺς λίθους εἰς ἄρτους μεταβληθῆναι, εἰς ὀλιγωρίαν καὶ βλασφήμησιν προσκαλούμενος τὸν Κύριον, ὅτι μὴ καὶ αὐτὸς ἀνατρέπων ἐκείνου τὴν δολιότητα, καὶ διελέγχων τὴν ἄγνοιαν τοῦ καθήκοντος, ἀπεκρίνατο· «γέγραπται, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος» καὶ τὰ ἑξῆς.

ϛ'. Ἐν ἑνὶ ῥήματι καὶ ἑαυτὸν ἀνενδεῆ δεικνὺς θείῳ λόγῳ τρεφόμενον, καὶ τοῦ Πατρὸς ἅμα ὡς δικαίου, καὶ φιλανθρώπου, καὶ ἀληθινοῦ τῷ ὄντι ὑπεραπολογούμενος. Ταύτης, οἶμαι, τῆς βρώσεως καὶ τὸν Γέροντα διηνεκῶς παρὰ τοῦ Πνεύματος ἐμφορούμενον ἀναισθητεῖν ὅλως περὶ φαινομένης μεταλήψεως.

12. Ἀπῆλθέ ποτε ὁ Ἀββᾶς Μακάριος ὁ πολιτικὸς κόψαι θαλλία, καὶ οἱ ἀδελφοὶ μετ' αὐτοῦ, καὶ λέγουσιν αὐτῷ τὴν πρώτην ἡμέραν· δεῦρο, φάγε μεθ' ἡ-

μῶν, Πάτερ· ὁ δὲ ἀπῆλθε καὶ ἔφαγε. Λέγουσιν αὐτῷ ὁμοίως καὶ τῇ ἐπιούσῃ. Ὁ δὲ ἀπεκρίθη αὐτοῖς· ὑμεῖς χρείαν ἔχετε φαγεῖν, τέκνα· ἀκμὴν γὰρ σάρξ ἐστέ, ἐγὼ δὲ νῦν οὐ θέλω φαγεῖν, τουτέστι τροφῆς οὐκ ὀρέγομαι.

13. Παρέβαλέ τις τῶν Γερόντων ἑτέρῳ Γέροντι, καὶ ὡς γέγονεν ὥρα ἕκτη ὁ ὑποδεξάμενος λέγει τῷ μαθητῇ αὐτοῦ· ποίησον ἡμῖν μικρὸν φακόν, καὶ βρέξον καὶ ἄρτους. Καὶ ἐποίησεν ὁ μαθητὴς οὕτως· οἱ δὲ Γέροντες ἔμειναν λαλοῦντες περὶ πνευματικῶν, ἀπὸ ὥρας ἕκτης, ἕως ἐπαύριον τῆς αὐτῆς ὥρας, καὶ τροφῆς οὐκ ἐμνημόνευσαν.

14. Τότε πάλιν λέγει ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· ποίησον ἡμῖν μικρὸν φακόν, τέκνον. Καὶ ἀπεκρίθη ἐκεῖνος· ἀπὸ χθὲς ἐποίησα, Ἀββᾶ. Καὶ οὕτως οἱ Γέροντες ἔφαγον.

15. Ἕτερός τις Γέρων παρέβαλέ τινι τῶν Πατέρων, ὁ δὲ ἑψήσας ὀλίγον φακόν, ἑσπέρας ἤδη καταλαβούσης, εἶπε τῷ ἐλθόντι· ποιήσωμεν μικρὰν σύναξιν. Καὶ ἐτέλεσεν ὁ εἷς ὅλον τὸ Ψαλτήριον, ὁ δὲ ἕτερος, ὁ παραγενόμενος, ἀπεστήθισε τοὺς μεγάλους δύο Προφήτας. Καὶ πρωΐας γενομένης, συνταξάμενος αὐτῷ, ἀνεχώρησε καὶ τῆς τροφῆς ἐπελάθοντο.

16. Διηγήσατό τις μαθητὴς μεγάλου Γέροντος περὶ τοῦ Ἀββᾶ αὐτοῦ, ὅτι ποτὲ γενομένης τῆς ἐννάτης ὥρας, ἠθέλησε γεύσασθαι, καὶ θεὶς τὴν τράπεζαν, ἔστη σὺν αὐτῷ εἰς προσευχήν. Καὶ ὡς ἐψάλλομεν δύο ψαλμούς, ἤρξατο ὁ Γέρων λέγειν ἀπὸ στήθους, ἤγουν ἐν ἐκστάσει γενόμενος ἐφθέγγετό τινα ῥήματα κατάλληλα τῆς ἐκστάσεως· καὶ ἔμεινεν οὕτως μέχρις ὥρας ἐννάτης τῆς ἐπιούσης ἡμέρας, καὶ τότε κατέπαυσεν· ὁ γὰρ νοῦς αὐτοῦ, φησίν, ἄνω ἐθεώρει μυστήρια.

17. Θεόδωρος ὁ γεγονὼς Ἐπίσκοπος Ῥωσσοῦ, διηγεῖτο, ὅτι Γέρων τις γνώριμός μοι ἦλθε ποτὲ πρός με εἰς τὴν Λαύραν τῶν Πυργίων τὴν πλησίον τοῦ Ἰορδάνου, καθεζομένου μου, καὶ λέγει μοι· ποίησον ἀγάπην, ἀδελφὲ Θεόδωρε, καὶ ἐλθὲ μετ' ἐμοῦ, εἰς τὸ ὄρος τὸ Σινᾶ, ὅτι ἐκεῖσε ἔχω εὐχήν· ἐγὼ δὲ μὴ δυνάμενος παρακοῦσαι τοῦ Γέροντος, εἶπον αὐτῷ· ἄγωμεν.

18. Ὡς οὖν ἐπεράσαμεν τὸν Ἰορδάνην, λέγει μοι ὁ Γέρων· ἀδελφὲ Θεόδωρε, δεῦρο βάλωμεν μετάνοιαν, ἵνα ἕως τοῦ ὄρους τοῦ Σινᾶ μηδεὶς ἡμῶν φάγῃ. Ἀπεκρίθην αὐτῷ· ὄντως, Πάτερ, οὐ δύναμαι ἐγὼ τοῦτο ποιῆσαι. Ὡς οὖν ἤκουσεν ὁ Γέρων, μικρὸν ἀποστὰς ἀπ' ἐμοῦ, ἔβαλε μετάνοιαν δεόμενος τοῦ Θεοῦ· εἶτα ἀναστάντος αὐτοῦ ὡδεύομεν, καὶ ἕως τοῦ Ἁγίου Σινᾶ οὐ μετέλαβέ τινος.

19. Ἐκεῖ δὲ εἰς τὸ Σινᾶ, ὡς ἐφθάσαμεν, κοινωνήσας τῶν Ἁγίων Μυστηρίων, μετέλαβε τροφῆς· καὶ πάλιν ἀπὸ τοῦ Σινᾶ ἀπήλθομεν εἰς τὸν Ἅγιον Μηνᾶν εἰς Ἀλεξάνδρειαν· καὶ διήνυσε τὴν ὁδὸν ὁ Γέρων νῆστις, ἐκεῖ δὲ κοινωνήσας ὁμοίως, μετέσχε τροφῆς.

20. Εἶτα πάλιν ἤλθομεν εἰς τὴν Ἁγίαν Πόλιν, καὶ οὐδενὸς ὁ Γέρων μετέλαβεν ἐν τῇ ὁδῷ· κοινωνήσας δὲ παραπλησίως τῶν ζωοποιῶν μυστηρίων εἰς τὴν Ἁγίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀνάστασιν, μετέλαβε καὶ τότε τροφῆς. Ἐν ὅλῃ οὖν τῇ τοιαύτῃ καὶ τοσαύτῃ ὁδῷ ὁ Γέρων, εἰμὴ τρίτον οὐκ ἔφαγεν, ἔχων τὴν Χάριν τοῦ Θεοῦ αὐτὸν ἐνισχύουσαν.

Ἑρμηνεία

ΠΕΡΙ τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ διηγοῦντο, ὅτι ἔπλεξε σειρὰν διὰ δύο ζεμπίλια· τόσον ὅμως ὁ νοῦς του εἶχεν ἀπορροφηθῆ ἀπὸ ὑψηλὴν θεωρίαν, ὥστε μὲ ὁλόκληρον τὴν σειρὰν

ἔρραψεν ἕνα μόνον ζεμπίλι, ἀντὶ δύο καὶ τότε μόνον ἀντελήφθη τὶ ἔκαμεν, ὅταν ἀπὸ τὸ μέγεθος τοῦ κατασκευασμένου ζεμπιλίου προσήγγισεν εἰς τὸν τοῖχον (τοῦ κελλίου).

2. Ἄλλοτε πάλιν ἦλθεν ἕνας ἀδελφὸς εἰς τὸ κελλὶ τοῦ Ἀββᾶ Ἰωάννου, διὰ νὰ παραλάβῃ ζεμπίλια. Ἀφοῦ ἐκτύπησε τὴν θύραν, ἐξῆλθεν ὁ Γέρων καὶ τὸν ἐρωτᾷ:

—Τί θέλεις, ἀδελφέ μου;

—Ζεμπίλια, Ἀββᾶ μου—ἀπήντησεν ὁ ἀδελφός.

Πράγματι ὁ Ἀββᾶς Ἰωάννης εἰσῆλθε, διὰ νὰ πάρῃ τὰ ζεμπίλια. Ἀπερροφήθη ὅμως ἀπὸ θείαν ἔκστασιν καὶ ἐλησμόνησε. Δι᾽ αὐτό, ἀντὶ νὰ ἐξέλθῃ μὲ τὰ ζεμπίλια, ἐκάθισεν εἰς τὸ κελλί του καὶ ἔρραβε.

3. Ἐπειδὴ καθυστεροῦσεν, ἐκτύπησε καὶ πάλιν ὁ ἀδελφός. Μόλις ἐβγῆκεν ἀπὸ τὸ κελλί, τοῦ λέγει ὁ ἀδελφός:

—Φέρε μου, Ἀββᾶ μου, τὰ ζεμπίλια!

Ἀλλὰ καὶ ἐκ νέου ἐλησμόνησεν ὁ Ἀββᾶς, ἀφοῦ εἰσῆλθε, καὶ ἤρχισε νὰ ῥάπτῃ.

4. Μετὰ ἀπὸ τὴν νέαν καθυστέρησιν καὶ πάλιν ἐκτύπησεν ὁ ἀδελφός, ἀναμένων ἐπ᾽ ἀρκετὸν τὴν ἐμφάνισιν τοῦ Ἀββᾶ.

—Τί θέλεις;—ἐρωτᾷ ὁ Ἀββᾶς· ὡς νὰ τὸν ἔβλεπε πρώτην φοράν.

—Ἀββᾶ μου, τὰ ζεμπίλια—εἶπεν ὁ ἐπισκέπτης.

Τότε ὁ Ἀββᾶς τὸν ἐκράτησεν ἀπὸ τὸ χέρι καὶ ἀφοῦ τὸν ἔβαλε μέσα εἰς τὸ κελλί, τοῦ λέγει:

—Ἐὰν θέλῃς ζεμπίλια, πάρε καὶ πήγαινε· ἐγὼ δὲν εὐκαιρῶ. (Εἶπε δὲ τοῦτο, διότι ὁ νοῦς του ἦτο ἀπορροφημένος ἀπὸ μυστικὴν θεωρίαν).

5. Παρόμοιον περιστατικὸν συνέβη εἰς τὸν Ἀββᾶν Ἰωάννην ἄλλην φοράν. Κάποτε ἦλθεν εἰς τὸ κελλὶ τοῦ Ὁσίου ἕνας καμηλιέρης, κατόπιν προσκλήσεως, διὰ νὰ πάρῃ τὰς ἀποσκευάς του καὶ νὰ τὰς μεταφέρῃ εἰς ἄλλο μέρος· ὁ Ἀββᾶς Ἰωάννης εἰσῆλθεν εἰς τὸ κελλὶ διὰ νὰ τοῦ φέρῃ ὅσην σειράν(1) εἶχεν ἑτοίμην· τόσον ὅμως ἡ διάνοιά του εἶχεν ἀπορροφηθῆ πρὸς τὸν Θεόν, ὥστε ἐλησμόνησεν.

6. Ὁ καμηλιέρης ἠνώχλησε καὶ πάλιν τὸν Ἀββᾶν κρούσας τὴν θύραν τοῦ κελλίου. Ὁ Ἀββᾶς ἐξῆλθεν, ἐπληροφορήθη καὶ πάλιν τὸν σκοπὸν τοῦ καμηλιέρη, ἀλλὰ μόλις εἰσῆλθε, διὰ νὰ τὸν ἐκπληρώσῃ, τὸ ἐλησμόνησεν ἀμέσως.

7. Διὰ τρίτην φορὰν ὁ καμηλιέρης ἠναγκάσθη νὰ κτυπήσῃ! Πράγματι ἐξῆλθεν ὁ Ἀββᾶς, ἔμαθεν ἐκ νέου τὶ ἐζήτει, καὶ τότε πλέον, διὰ νὰ μὴ τὸ λησμονήσῃ καὶ πάλιν, ἔλεγε δυνατά, εἰσερχόμενος εἰς τὸ κελλί του: «σειρὰ—κάμηλος, σειρὰ—κάμηλος».

---

1) Σειρὰ=πλεγμένα φύλλα φοινίκων εἰς σχῆμα σχοινίου. Μὲ τὴν σειρὰν συρραπτομένην περιστροφικῶς κατεσκεύαζον τὰ ζεμπίλια καὶ ἄλλα πλεκτὰ εἴδη.

8. Ὁ Ἀββᾶς Ἀβραὰμ διηγεῖτο τὸ ἑξῆς δι' ἕνα Πατέρα, ὁ ὁποῖος εἶχεν ἀπορροφηθῆ εἰς τὴν ὑψηλὴν θεωρίαν. Οὗτος ἦτο ἀντιγραφεὺς βιβλίων καὶ παρεκλήθη ὑπό τινος ἀδελφοῦ νὰ τοῦ γράψῃ ἕνα βιβλίον. Ὁ Γέρων ὅμως αὐτὸς ἐπὶ τοσοῦτον εἶχε προσηλωμένην τὴν διάνοιάν του εἰς τὴν ὑψηλὴν θεωρίαν, ὥστε δὲν ἔγραψε κανονικὰ τοὺς στίχους, οὔτε ἔβαλε τὰ σημεῖα στίξεως (1).

9. Ὁ ἀδελφός, ποὺ παρήγγειλε τὸ βιβλίον, μόλις τὸ παρέλαβε καὶ εἶδεν ὅτι ἡ ἀντιγραφὴ δὲν ἔγινε κανονικῶς κατὰ στίχους, ἀλλ' οὔτε σημεῖα στίξεως ὑπῆρχαν, διὰ νὰ ξεχωρίζῃ ἕκαστος στίχος, ἠθέλησε νὰ τοποθετήσῃ, τουλάχιστον τὰ σημεῖα στίξεως, ἀλλὰ καὶ τοῦτο δὲν ἦτο εὔκολον, διότι διεπίστωσε καὶ ἀρκετὰς παραλείψεις.

Κατόπιν αὐτοῦ ἀπετάνθη πρὸς τὸν Γέροντα, ποὺ ἔγραψε τὸ βιβλίον καὶ τοῦ λέγει:

—Γέροντά μου, οἱ στίχοι τοῦ βιβλίου δὲν εἶναι κανονικοί, οὔτε καμμία στίξις ὑπάρχει, ἐπὶ πλέον ἔχουν σημειωθῆ ἀρκεταὶ παραλείψεις.

Τότε λέγει πρὸς αὐτὸν ὁ Γέρων:

—Πήγαινε πρῶτα νὰ ἐφαρμόσῃς αὐτά, ποὺ ἔχουν γραφῆ καὶ ἔπειτα ἔλα, νὰ συμπληρώσω καὶ τὰς ἐλλείψεις.

10. Κάποτε ὁ Ἀββᾶς Ἰσαὰκ παρέμεινε πλησίον τοῦ Ἀββᾶ Ποιμένος. Εἰς μίαν στιγμὴν ἠκούσθη τὸ λάλημα ἑνὸς πετεινοῦ. Τότε ὁ Ἀββᾶς Ἰσαὰκ λέγει πρὸς τὸν Ἀββᾶν Ποιμένα:

—Ἔχετε ἐδῶ, Ἀββᾶ μου, πετεινούς;

—Διατί, Ἰσαάκ,—ἀπεκρίθη ὁ Ἀββᾶς Ποιμὴν—μὲ ἀναγκάζεις νὰ ὁμιλῶ; Σὺ καὶ οἱ ὅμοιοί σου ἀκούετε τὸ πετεινολάλημα· ἐκεῖνος, ὅμως τοῦ ὁποίου ἡ διάνοια εἶναι διαρκῶς ἐστραμμένη πρὸς τὸν Θεόν, δὲν τὰ προσέχει αὐτά.

11. Πολλὰς φορὰς ἔλεγεν ὁ μαθητὴς τοῦ Ἀββᾶ Σισώη πρὸς αὐτόν, ὅταν ἤρχετο ἡ ὥρα τοῦ φαγητοῦ:

—Σήκω, Ἀββᾶ, νὰ φάγωμεν.

—Πρὸ ὀλίγου, τέκνον μου, δὲν ἐφάγομεν;—Ἔλεγεν ὁ Ἀββᾶς.

—Ὄχι, Πάτερ μου—ἀπαντοῦσεν ὁ μαθητής.

—Ἐὰν δὲν ἐφάγομεν,—ἔλεγεν ὁ Γέρων—τότε φέρε νὰ φάγωμεν.

Σχόλιον τοῦ Πατρός, ἤτοι Παύλου τοῦ Εὐεργετινοῦ.

αʹ. Αὐτὸς ὁ Γέρων ἐπὶ τοσοῦτον εἶχε διαποτισθῆ ἀπὸ τὴν Χάριν τοῦ Παναγίου Πνεύματος, ὥστε ὄχι μόνον ἀπηλλάγη ἀπὸ τῶν αἰσθημάτων τῆς πείνης καὶ τῆς δίψης, ἀλλὰ καὶ οὐδόλως

---

1) Ἐπρόκειτο πιθανὸν περὶ βιβλίου περιέχοντος Ἱερᾶς Ἀκολουθίας, ὡς ἐκ τούτου δὲ ἡ μὴ κανονικὴ κατὰ στίχους καταχώρισις τῶν τροπαρίων καὶ ἡ ἔλλειψις τῶν σημείων στίξεως καθίστα δυσχερῆ τὴν ψαλτικὴν ἀπόδοσιν αὐτῶν.

ἠνωχλεῖτο ἐὰν δὲν ἔτρωγε καθόλου ὑλικὴν τροφήν. Τοῦτο δὲ συνέβαινε, διότι τρεφόμενος ὑπὸ τοῦ Θεοῦ μὲ ἀμετάβλητον καὶ ἀνεξάντλητον τροφήν, δηλαδὴ τὴν Χάριν τοῦ Πνεύματος, εὑρίσκετο διαρκῶς χορτᾶτος, δι᾽ αὐτὸ καὶ δὲν ᾐσθάνετο τὴν ἀνάγκην τῆς ὑλικῆς τροφῆς.

β΄. Τὸ ὑπερφυσικὸν αὐτὸ φαινόμενον συνέβαινε καὶ εἰς πολλοὺς ἐκ τῶν Ἁγίων, οἱ ὁποῖοι ἔλαβον παρὰ τοῦ Θεοῦ χάρισμα· οὗτοι ἢ ἐλαχίστην, ἢ κατ᾽ ἀραιὰ μόνον διαστήματα μετελάμβανον ὑλικῆς τροφῆς. Καὶ αὐτὸς οὗτος ὁ Κύριος, ὁ Ἀρχηγὸς τῆς σωτηρίας μας καὶ κατὰ φύσιν μετέχων τῶν χαρισμάτων τοῦ Θεοῦ, ἔδειξε, διὰ τοῦ παραδείγματός Του, τὸ ὑπερφυσικὸν αὐτὸ φαινόμενον, κατὰ τὸ μέτρον τῆς ἀνθρωπίνης ἀσθενείας. Ἰδοὺ τί γράφει σχετικῶς τὸ Ἱερὸν Εὐαγγέλιον· «καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασε» (Ματθ. δ΄, 2).

γ΄. Ἡ κεντρικὴ ἰδέα εἶναι ἡ ἑξῆς: Ὁ Κύριος μὲ τὸ παράδειγμά Του ἔδειξεν, ὅτι δὲν ἐπεινοῦσε κατὰ τὸ διάστημα τῶν τεσσαράκοντα ἡμερῶν καὶ νυκτῶν, ἐπειδὴ ἦτο πλήρης ἀπὸ τὴν ἐνέργειαν τοῦ Πνεύματος· τότε ὅμως, διὰ νὰ δώσῃ ἀφορμὴν εἰς τὸν πειράζοντα νὰ τὸν πολεμήσῃ καὶ νὰ ἡττηθῇ ὁ πειράζων, ὑπεχώρησε πρὸς στιγμὴν ἡ Χάρις καὶ ἐπείνασεν, ὡς ἄνθρωπος. Διότι τὸ περιστατικὸν τῆς πολυημέρου νηστείας ἦτο κατόρθωμα ὑπεράνθρωπον, ἐπειδὴ ἡ ἀνθρωπίνη φύσις δὲν ἔχει ἀφ᾽ ἑαυτῆς τὴν δύναμιν οὔτε μίαν ἑβδομάδα νὰ παραμείνῃ καὶ νὰ διατηρηθῇ χωρὶς τροφήν, πολὺ περισσότερον δὲν δύναται (πλὴν ἐλαχίστων ἐξαιρέσεων) νὰ πράξῃ τοῦτο ἐπὶ τεσσαράκοντα συνεχεῖς ἡμέρας.

δ΄. Ὅτι δὲ πράγματι ἔτσι εἶναι ἡ ἀλήθεια, θὰ τὸ ἀποδείξουν μὲ σαφήνειαν οἱ λόγοι τοῦ Κυρίου, μὲ τοὺς ὁποίους ἀνατρέπει τὴν κακουργίαν τοῦ διαβόλου. Ἀλλ᾽ ἂς ἴδωμεν πλησιέστερον τὸ ζήτημα· ὁ διάβολος εἰρωνεύεται τὸν Κύριον καὶ τοῦ λέγει· «ἐὰν πράγματι εἶσαι υἱὸς τοῦ Θεοῦ, διάταξε νὰ γίνουν οἱ λίθοι αὐτοὶ ἄρτοι» (Ματθ. δ΄ 3)· μὲ τὴν εἰρωνικὴν δὲ αὐτὴν φράσιν ἀποτολμᾷ νὰ ἐξωθήσῃ τὸν Σωτῆρα, τὸν ὁποῖον ἐθεώρει ὡς ἄνθρωπον, εἰς βλασφημίαν· ὡς νὰ τοῦ ἔλεγε δηλαδή: ὁ Πατὴρ ὁ οὐράνιος, ὅστις διεκήρυξεν, ὅτι ἦτο Υἱός του, ὅταν ἐβαπτίζετο ὑπὸ τοῦ Ἰωάννου, δὲν τοῦ ἐχορήγησε τὴν ἀπαραίτητον τροφήν, ἀλλὰ τὸν ἄφησε νηστικὸν ἐπὶ τεσσαράκοντα ἡμέρας, καὶ πεινῶντα μέχρι τώρα.

ε΄. Ὡμίλει δὲ οὕτως ὁ ἐχθρὸς τῆς ἀληθείας, διότι δὲν ἐγνώριζε τὴν οὐσιαστικὴν σχέσιν τοῦ Χριστοῦ μὲ τὸν ἐπουράνιον Πατέρα. Δι᾽ αὐτὸ καί, διὰ τῆς δοκιμαστικῆς προτάσεως, («εἰπέ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται» (Ματθ. δ΄ 3), ἐξωθοῦσε τὸν Κύριον ἀφ᾽ ἑνὸς μὲν εἰς καταφρόνησιν καὶ πνευματικὴν ἀδράνειαν, ἀφ᾽ ἑτέρου δὲ καὶ εἰς βλασφημίαν κατὰ τοῦ ἐπουρανίου Πατρός.

Δι᾽ αὐτὸ καὶ Κύριος, καταρρίπτων τὴν πονηρίαν τοῦ διαβόλου καὶ ἐλέγχων τὴν ἄγνοιαν τοῦ καθήκοντος, ἀπήντησε· «γέγραπται οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ρήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ» (Ματθ. δ΄ 4, Δευτερον. η΄ 3).

ς΄. Διὰ τῶν λόγων τούτων ὁ Κύριος ἀπέδειξε μὲ μίαν πρότασιν, ὅτι καὶ ὁ ἴδιος ἦτο ἀνώτερος τῆς ἀνάγκης, ὡς τρεφόμενος μὲ θεῖον λόγον, ἀλλὰ καὶ τὸν ἐπουράνιον Πατέρα ὑπερησπίσθη ὡς πράγματι δίκαιον, φιλάνθρωπον καὶ ἀληθινόν. Αὐτῆς λοιπὸν τῆς ἐπουρανίου τροφῆς, δι᾽ ἧς διετρέφετο ἐπὶ τεσσαράκοντα ἡμέρας ὁ Ἰησοῦς εἰς τὴν ἔρημον, ἀπολαμβάνων καὶ ὁ Γέρων διαρκῶς, διὰ τῆς ἐν αὐτῷ ἐνεργείας τοῦ Ἁγίου Πνεύματος, οὐδόλως ᾐσθάνετο τὴν ἔλλειψιν τῆς ὑλικῆς καὶ προσκαίρου τροφῆς.

12. Κάποτε ὁ Ἀββᾶς Μακάριος ὁ πολιτικὸς ἐπῆγε νὰ κόψῃ βλαστοὺς φοινίκων διὰ τὸ ἐργόχειρόν του, μαζὶ μὲ τοὺς ἀδελφούς. Τὴν πρώτην ἡμέραν τῆς ἐργασίας τοῦ λέγουν οἱ ἀδελφοί:

—Ἔλα νὰ φάγῃς μαζί μας, Πάτερ.

Ὁ Ἀββᾶς Μακάριος μετέβη καὶ ἔφαγαν μαζί. Καὶ τὴν ἄλλην ἡμέραν πάλιν τὸν προσεκάλεσαν οἱ ἀδελφοὶ εἰς τὸ φαγητόν.

Τότε τοὺς ἀπήντησε:

—Τέκνα μου, σεῖς νὰ φάγετε, διότι ἔχετε ἀνάγκην ἀπὸ φαγητόν, ἐπειδὴ ἀκόμη ἐνοχλεῖσθε ἀπὸ τὰς ἀπαιτήσεις τῆς σαρκός. Ἐγὼ τώρα δὲν θέλω νὰ φάγω· δηλαδὴ δὲν ἐπιθυμῶ ὑλικὸν φαγητόν.

13. Κάποτε ἕνας Γέρων ἐπεσκέφθη ἕνα ἄλλον Γέροντα. Μόλις ἔφθασεν ἡ ἕκτη ὥρα (1), λέγει ὁ ὑποδεχθεὶς εἰς τὸ κελλί του τὸν ἐπισκέπτην πρὸς τὸν μαθητήν του:

—Μαγείρευσέ μας ὀλίγην φακῆν καὶ βρέξε ὀλίγα παξιμάδια.

Ὁ μαθητὴς πράγματι ἐξετέλεσε τὴν ἐντολήν. Οἱ δύο Γέροντες ὅμως παρέμειναν συνομιλοῦντες ἐπὶ πνευματικῶν ζητημάτων, ἀπὸ τῆς ἕκτης ὥρας μέχρι τῆς ἕκτης τῆς ἑπομένης ἡμέρας, χωρὶς νὰ ἀντιληφθοῦν, ὅτι ἐπέρασε χρόνος εἰκοσιτεσσάρων ὡρῶν. Κατὰ τὸ διάστημα αὐτὸ οὐδόλως ᾐσθάνθησαν τὴν ἀνάγκην τῆς τροφῆς.

14. Τὴν ἑπομένην λέγει πάλιν ὁ Γέρων εἰς τὸν ὑποτακτικόν, ὡς νὰ ἦτο πρώτη φορά:

—Τέκνον μου, μαγείρευσέ μας ὀλίγην φακῆν.

Ὁ ὑποτακτικὸς ἀπήντησεν:

—Ἀββᾶ, ἀπὸ χθὲς τὴν ἔχω ἑτοίμην.

Τότε μόνον ἔφαγον οἱ Γέροντες.

15. Ἕνας ἄλλος Γέρων ἐπεσκέφθη κάποιον Πατέρα. Ὁ Πατὴρ

---

1) Βλέπε ὑποσημείωσιν σελ. 258.

οὗτος, χάριν τοῦ ἐπισκέπτου του, ἐμαγείρευσεν ὀλίγην φακῆν. Ὅταν ἐπλησίαζε νὰ βραδυάσῃ, εἶπε πρὸς τὸν ἐπισκέπτην του ὁ Πατὴρ ἐκεῖνος:

—Ἂς κάμωμεν ὀλίγην ἀκολουθίαν μετ᾽ ἀναγνώσεως.

Τότε ὁ εἷς συνεπλήρωσε τὴν ἀνάγνωσιν ὁλοκλήρου τοῦ Ψαλτηρίου, ὁ δὲ ἐπισκέπτης τοὺς δύο μεγάλους Προφήτας. Τοιουτοτρόπως ὅμως, χωρὶς νὰ τὸ ἀντιληφθοῦν, ἐξημέρωσε καὶ ὁ ἐπισκέπτης ἐχαιρέτησε τὸν φιλοξενήσαντα, χωρὶς καὶ οἱ δύο νὰ ἐνθυμηθοῦν νὰ φάγουν.

16. Ὁ μαθητὴς ἑνὸς μεγάλου Γέροντος διηγήθη τὸ ἑξῆς διὰ τὸν Ἀββᾶν του. Κάποτε, κατὰ τὴν ἐνάτην ὥραν[1], ἔδωσεν ἐντολὴν νὰ φάγωμεν. Πράγματι ἡτοιμάσθη ἡ τράπεζα καὶ ἠρχίσαμεν τὴν διατεταγμένην πρὸ τῆς τραπέζης προσευχήν· καθὼς δὲ ἐψάλαμεν δύο ψαλμούς, ὁ Γέρων περιέπεσεν εἰς θείαν ἔκστασιν καὶ ἤρχισε νὰ λέγῃ λόγους, ἐμπνεομένους ἀπὸ τὴν ἔκστασιν. Εἰς τὴν στάσιν αὐτὴν παρέμεινε μέχρι τῆς ἐνάτης ὥρας τῆς ἑπομένης ἡμέρας καὶ τότε μόνον ἐσταμάτησεν. Ὅπως δὲ μᾶς ἐξήγησεν, ὁ νοῦς του ἦτο ἐστραμμένος ἄνω καὶ ἔβλεπε πράγματα ὑπεράνω τῆς λογικῆς, θεῖα, δηλαδή, μυστήρια.

17. Ὁ Θεόδωρος, ὅστις ἔγινεν Ἐπίσκοπος τῆς πόλεως Ρωσός[2], διηγήθη τὸ ἑξῆς:

Κάποτε—εἶπεν—ἕνας γνωστός μου Γέρων ἦλθε καὶ μὲ συνήντησεν εἰς τὴν Λαύραν τῶν Πυργίων[3], πλησίον τοῦ Ἰορδάνου, ὅπου παρέμενα τότε καὶ μοῦ λέγει:

—Κάμε ἀγάπην, ἀδελφὲ Θεόδωρε, καὶ ἔλα νὰ πᾶμε μαζὶ εἰς τὸ ὄρος Σινᾶ, διότι ἔχω τάξιμον νὰ μεταβῶ, διὰ προσκύνημα.

Ἐγώ, ἀπὸ ἀγάπην καὶ σεβασμὸν πρὸς τὸν Γέροντα, δὲν ἠδυνήθην νὰ ἀρνηθῶ καὶ ἐδέχθην τὴν πρόσκλησίν του.

18. Μόλις ἐπεράσαμεν τὸν Ἰορδάνην, μοῦ λέγει πάλιν ὁ Γέρων:

—Ἀδελφὲ Θεόδωρε, ἔλα νὰ θέσωμεν ὅρον, νὰ μὴ φάγῃ κανεὶς ἐξ ἡμῶν μέχρις ὅτου φθάσωμεν εἰς τὸ ὄρος Σινᾶ.

—Πραγματικῶς, Πάτερ μου—τοῦ ἀπήντησα—ἐγὼ δὲν ἠμπορῶ νὰ θέσω τοιοῦτον ὅρον.

Ἀφοῦ ἤκουσε τὴν ἀπάντησίν μου αὐτὴν ὁ Γέρων, ἀπεμακρύνθη ὀλίγον ἀπὸ κοντά μου καὶ ἔβαλε μετάνοιαν, παρακαλέσας θερμῶς τὸν Θεὸν νὰ τὸν ἐνισχύσῃ. Οὕτω ἐδέσμευσε τὸν ἑαυτόν του μὲ τὸν ὅρον τῆς νηστείας. Μετά, ἀφοῦ ἐπεράτωσε τὴν δέησίν του, συνεχίσαμεν τὴν πορείαν μας καὶ μέχρι τοῦ ὄρους Σινᾶ δὲν ἔφαγε τίποτε.

---

1) Βλέπε ὑποσημ. σελ. 258.

2) Ρωσός· ἀρχαία πόλις τῆς Συρίας ἐν τῷ Ἰσσικῷ κόλπῳ (Ἀλεξανδρέττας), πλησίον τῶν Συρίων Πυλῶν.

3) Ἡ Λαύρα τῶν Πυργίων ἱδρύθη ὑπὸ τοῦ μαθητοῦ τοῦ Ὁσίου Σάββα Ἰακώβου, κατὰ τὰς ἀρχὰς τοῦ ϛ΄ αἰῶνος εἰς τὴν ἐντεῦθεν τοῦ Ἰορδάνου πεδιάδα, πλησίον τῆς Ἱεριχοῦς.

19. Ὅταν ἐφθάσαμεν εἰς τὸ ὄρος Σινᾶ, μετέλαβε τῶν Ἀχράντων Μυστηρίων, καὶ τότε ἔφαγεν. Ἀπὸ τοῦ ὄρους Σινᾶ μετέβημεν εἰς τὸν πλησίον τῆς Ἀλεξανδρείας Ναὸν τοῦ Ἁγίου Μηνᾶ[1]· τὸ διάστημα δὲ αὐτὸ τὸ διήνυσε πάλιν ὁ Γέρων νηστικός. Εἰς τὸν Ναὸν τοῦ Ἁγίου Μηνᾶ μετέλαβεν ἐκ νέου τῶν Ἀχράντων Μυστηρίων καὶ ἔφαγεν ὀλίγον.

20. Καὶ κατὰ τὴν ἐπιστροφήν μας εἰς τὴν Ἁγίαν Πόλιν Ἱερουσαλὴμ τίποτε δὲν ἔφαγε καθ' ὁδόν. Μόνον δὲ ἀφοῦ ἐκοινώνησεν εἰς τὸν Ναὸν τῆς Ἀναστάσεως τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν, ἔφαγε. Καθ' ὅλην λοιπὸν αὐτὴν τὴν μακρὰν καὶ ἐπίπονον ὁδοιπορίαν ὁ Γέρων τρεῖς μόνον φορὰς ἔφαγεν, ἐνισχυόμενος ἀπὸ τὴν Χάριν τοῦ Θεοῦ!



1) Πρόκειται περὶ Ναοῦ τοῦ Ἁγίου Μηνᾶ, εὑρισκομένου παρὰ τὸ γνωστὸν ἀπὸ τοῦ δευτέρου παγκοσμίου πολέμου Ἐλ Ἀλαμέϊν ἔνθα, ὡς ἐλέγετο, ὑπῆρχεν ὁ τάφος τοῦ Ἁγίου Μηνᾶ. Εἰς τὸν Ναὸν αὐτὸν προσέτρεχον ἐπὶ αἰῶνας ὁλοκλήρους προσκυνηταὶ ἀπὸ ὅλας τὰς παραμεσογείους χώρας καὶ πλεῖστα θαύματα ἐπετελοῦντο διὰ τῆς χάριτος τοῦ Ἁγίου. (Βλέπε ἐν ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας», τόμ. ΙΑ΄ ἔκδ. α΄ σελ. 267—268, ἔκδ. β΄ σελ. 319—321).



ὙΠΟΘΕΣΙΣ ΚϚ΄

Ὅτι μέγα τὸ τῆς ἱερωσύνης ἀξίωμα, διὸ οὐ δεῖ ταύτῃ προστρέχειν, ἀλλὰ καὶ παραιτεῖσθαι ποσῶς δι' εὐλάβειαν τὸν εἰς ταύτην καλούμενον, καὶ μάλιστα εἰ ἐξ ἀνθρωπίνης σπουδῆς καὶ οὐκ ἐκ θείας ψήφου νομίζει τὴν ψῆφον γίνεσθαι· ὁμοίως ποιεῖν καὶ περὶ ἀρχῆς διδασκαλίας.

Τὸ ἀξίωμα τῆς ἱερωσύνης εἶναι μέγα· δι' αὐτὸ δὲν πρέπει νὰ προσπαθῇ ὁ πιστὸς νὰ τὸ κατακτήσῃ. Ἀπ' ἐναντίας πρέπει, ἀπὸ εὐλάβειαν, νὰ παραιτεῖται τελείως ὁ καλούμενος εἰς αὐτό, ἐὰν μάλιστα σχηματίσῃ τὴν γνώμην, ὅτι ἡ κλῆσις του εἰς τὴν ἱερωσύνην δὲν ὀφείλεται εἰς τὸ θέλημα τοῦ Θεοῦ, ἀλλ' εἰς ἀνθρωπίνην ἐνέργειαν. Ὁμοίως πρέπει νὰ ἐνεργῇ ὁ πιστός, ὁσάκις καλεῖται εἰς οἱανδήποτε ἄλλην ἐξουσίαν ἢ εἰς τὸ ἔργον τῆς διδασκαλίας.

Α΄. Παλλαδίου.




ΤΩΝ ἀνδρῶν ἄριστος Ἀμμώνιος, ὁ τοῦ Ὁσίου Παμβὼ μαθητής, καθ' ὑπερβολὴν φιλολόγος ἦν. Ἠράσθη οὖν τούτου πόλις τις εἰς λόγον Ἐπισκόπου, καὶ προσελθόντες οἱ τῆς πόλεως ἄνδρες τῷ μακαρίῳ Τιμοθέῳ Ἐπισκόπῳ, παρεκάλουν αὐτὸν χειρονονῆσαι αὐτοῖς Ἐπίσκοπον τὸν Ἀμμώνιον. Ὁ δὲ λέγει αὐτοῖς· φέρετέ μοι αὐτὸν καὶ χειροτονῶ τοῦτον ὑμῖν.

2. Ἀπελθόντων οὖν αὐτῶν μετὰ βοηθείας πολλῆς συλλαβέσθαι αὐτόν, εἰς φυγὴν οὗτος ἐτράπη· καταληφθεὶς δέ, στὰς παρεκάλει αὐτούς· μὴ πειθομένων δὲ αὐτῶν, διώμνυτο μὴ καταδέχεσθαι τὸ πρᾶγμα, μηδὲ δύνασθαι ἐξελθεῖν τῆς ἐρήμου.

3. Ὡς δὲ οὐ συνεχώρουν αὐτῷ, βλεπόντων αὐτῶν πάντων, ἀφαρπάσας ψαλίδα, τὸ οὖς αὐτοῦ τὸ ἀριστερὸν ἕως τοῦ πυθμένος ἐψάλισε, λέγων αὐτοῖς· κἂν ἀπὸ τοῦ νῦν πεπληροφόρησθε, ὅτι ἀδύνατόν μοι γενέσθαι λοιπὸν ὅπερ ἀναγκάζετε, τοῦ νόμου διαγορεύοντος ὡς ὠτότμητον εἰς ἱερωσύνην μὴ προάγεσθαι· οὕτως οὖν ἀφέντες αὐτὸν ἀνεχώρησαν.

4. Καὶ ἀπελθόντες, ἀπήγγειλαν ταῦτα τῷ Ἐπισκόπῳ. Ὁ δὲ λέγει αὐτοῖς· οὗτος ὁ νόμος παρὰ Ἰουδαίοις πολιτευέσθω· ἐμοὶ δὲ καὶ ῥινότμητον ἐὰν ἐνέγκητε, μόνον ἄξιον ὄντα τοῖς τρόποις, χειροτονῶ.

5. Ἀπελθόντες οὖν πάλιν παρεκάλουν αὐτόν· μὴ πειθομένου δὲ τοῦ ἀνδρός, ἐπεχείρουν καὶ βίαν προσαγαγεῖν· ὁ δὲ διωμόσατο αὐτοῖς εἰπών· ὅτι ἐὰν ἀναγκάσητέ με, καὶ τὴν γλῶσσάν μου ἀποτέμνω· ἐπὶ τούτοις ἀφέντες αὐτὸν ἀνεχώρησαν.


Ὁ ὍϹΙΟϹ ἈΒΒΑ̂Ϲ ἈΜΜΩΝΙΟϹ
ἘΑΝ ἈΝΑΓΚΑ ϹΗΤΕ ΜΕ ΚΑΙ ΤΗΝ ΓΛΩϹ ϹΑΝ ΜΟΥ ἈΠΟ ΤΕΜ ΝΩ
Ραλλης Κοψίδης 65.

Ἑρμηνεία

Ο ΚΑΛΥΤΕΡΟΣ ἀπὸ ὅλους τοὺς συγχρόνους του Ἀσκητὰς Ἀμμώνιος, ὁ μαθητὴς τοῦ Ὁσίου Παμβώ, ἦτο εἰς τὸ ἔπακρον ἐγγράμματος καὶ μορφωμένος. Διὰ τοῦτο μία ὁλόκληρος πόλις τὸν ἠγάπησε καὶ ἠθέλησε νὰ τὸν καταστήσῃ Ἐπίσκοπόν της. Πρὸς τοῦτο οἱ ἐπισημότεροι τῶν ἀνδρῶν τῆς πόλεως ἐμφανίζονται ἐνώπιον τοῦ μακαρίου Τιμοθέου, τοῦ Μητροπολίτου τῆς περιοχῆς, καὶ τὸν παρεκάλουν νὰ τοὺς χειροτονήσῃ Ἐπίσκοπόν των τὸν Ἀμμώνιον.

Ὁ Μητροπολίτης Τιμόθεος τοὺς λέγει:

—Φέρετέ τον ἐδῶ καὶ ἐγὼ ἀμέσως σᾶς τὸν χειροτονῶ.

2. Πράγματι μία ἐπιτροπὴ ἀνεχώρησε διὰ τὸ μέρος, ὅπου ἠσκήτευε, μετὰ δυνάμεως διὰ νὰ τὸν πείσουν, εἰς περίπτωσιν δὲ ἀρνήσεώς του νὰ τὸν συλλάβουν καὶ νὰ τὸν ὁδηγήσουν βιαίως εἰς τὸν Μητροπολίτην. Ὁ Ὅσιος ὅμως, ἀντιληφθεὶς τὰς διαθέσεις των, ἐτράπη εἰς φυγήν. Ἀφοῦ, μετὰ κόπου, τὸν ἐπλησίασαν, ἐστάθη καὶ ἤρχισε νὰ τοὺς παρακαλῇ, νὰ μὴ ἐπιμένουν εἰς τὴν ἀξίωσίν των. Ἐκεῖνοι ὅμως ἐπέμενον ἀνενδότως. Τότε ὁ Ὅσιος Ἀμμώνιος τοὺς διεβεβαίωνε μεθ' ὅρκου, ὅτι δὲν δύναται νὰ ἀποδεχθῇ τὸ αἴτημά των, οὔτε καὶ νὰ ἐξέλθῃ οὐδαμῶς τῆς ἐρήμου.

3. Παρ' ὅλα ταῦτα οἱ ἀντιπρόσωποι τῆς πόλεως δὲν ὑπεχώρουν. Πρὸ τῆς ἐπιμονῆς των αὐτῆς ὁ Ἀμμώνιος, ἐνῷ κατάπληκτοι τὸν ἔβλεπαν, ἁρπάζει ἕνα ψαλίδι καὶ ἀποκόπτει σύρριζα τὸ ἀριστερό του αὐτί.

—Ἂς σᾶς πείσῃ τοὐλάχιστον αὐτὸ—τοὺς εἶπε—ὅτι εἶναι τελείως ἀδύνατον νὰ γίνῃ ἐκεῖνο, εἰς τὸ ὁποῖον μὲ ἀναγκάζετε, ἐφ' ὅσον ὁ νόμος τῆς Ἐκκλησίας ἐμποδίζει αὐτόν, ποὺ ἔχει κομμένο αὐτί, νὰ προαχθῇ εἰς τὸ ἀξίωμα τῆς ἱερωσύνης.

Περίλυποι οἱ ἀντιπρόσωποι τῆς πόλεως ἐκείνης τὸν ἄφησαν καὶ ἀνεχώρησαν.

4. Οὗτοι, ἐν συνεχείᾳ, μετέβησαν εἰς τὸν Μητροπολίτην καὶ τοῦ ἐξέθεσαν τὰ γεγονότα.

Ὁ Μητροπολίτης, ἀφοῦ ἐσκέφθη ὀλίγον, τοὺς ἀπαντᾷ:

—Τὸν Νόμον αὐτὸν ἂς τὸν ἐφαρμόζουν οἱ Ἰουδαῖοι. Ἐγὼ καὶ μὲ κομμένην τὴν μύτην νὰ μοῦ τὸν φέρετε, θὰ τὸν χειροτονήσω, ἀρκεῖ νὰ εἶναι ἄξιος καὶ νὰ εἶναι ἐνάρετος ἡ ζωή του.

5. Κατόπιν τούτου μετέβησαν καὶ πάλιν εἰς τὸν τόπον, ποὺ ἠσκήτευεν ὁ Ἀμμώνιος καὶ τὸν παρεκάλουν ἐκ νέου νὰ δεχθῇ τὴν πρότασίν των καὶ νὰ χειροτονηθῇ Ἐπίσκοπος τῆς πόλεώς των.

Οὐδόλως ὅμως ἐπείθετο ὁ Ἀμμώνιος.

Κατόπιν τῆς ἐπιμονῆς του αὐτῆς ἐπεχείρησαν νὰ τὸν ἀπαγάγουν διὰ τῆς βίας.

Εἰς ἀπάντησιν ὁ Ἀμμώνιος τοὺς λέγει, διαβεβαιῶν αὐτοὺς περὶ τῆς ἀμετακινήτου προθέσεώς του:

—Προσέξατε, διότι ἐὰν μὲ ἀναγκάσετε νὰ μετακινηθῶ ἀπὸ τὸν τόπον τῆς ἡσυχίας μου, παρὰ τὴν θέλησίν μου, δὲν θὰ διστάσω νὰ κόψω καὶ τὴν γλῶσσαν μου.

Ὅταν ἤκουσαν αὐτὴν τὴν ἀπειλὴν οἱ ἄνδρες τῆς πόλεως, τὸν ἄφησαν πλέον ὁριστικῶς καὶ ἔφυγαν.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ.

ΦΑΙΔΗΜΟΥ κατὰ τὸν χρόνον ἐκεῖνον τῆς Ἀμασέων Ἐκκλησίας Καθηγουμένου, ᾧ θεόθεν προγνωστική τις δύναμις ἦν, καὶ πᾶσαν ποιουμένου σπουδήν, ὅπως ὑποχείριον λαβὼν τὸν Μέγαν Γρηγόριον εἰς Ἐκκλησίας ἀρχὴν ἀγάγῃ, ὡς ἂν μὴ τοσοῦτον ἀγαθὸν ἀργόν τε καὶ ἀνόνητον παραδράμῃ τὸν βίον, μᾶλλον οὗτος τῆς ὁρμῆς τοῦ Ἀρχιερέως αἰσθόμενος, λανθάνειν ἐμηχανᾶτο, ἄλλοτε πρὸς ἄλλην ἐρημίαν μετανιστάμενος.

2. Ἐπεὶ δὲ πᾶσαν καθιεὶς πεῖραν ὁ πολὺς ἐκεῖνος Φαίδημος, καὶ πάσῃ μηχανῇ τε καὶ ἐπινοίᾳ χρώμενος, οὐχ οἷός τε ἦν τῇ ἱερωσύνῃ τὸν ἄνδρα προσαγαγεῖν, μυρίοις ὄμμασι τῷ μὴ ἁλῶναι ποτὲ τῇ χειρὶ τοῦ ἱερέως προφυλασσόμενον· καὶ ἦν ἐφάμιλλος ἡ σπουδὴ ἀμφοτέροις, τοῦ μὲν ἑλεῖν ἐπιθυμοῦντος, τοῦ δὲ ἀποφυγεῖν τὸν διώκοντα· ὁ μὲν γὰρ ᾔδει προσάξων ἀνάθημα τῷ Θεῷ, ὁ δὲ ἐδεδοίκει μήτι γένηται αὐτῷ πρὸς φιλοσοφίαν ἐμπόδιον, οἷόν τι φορτίον ἡ τῆς ἱερωσύνης φροντὶς ἐπισαχθεῖσα τῷ βίῳ.

3. Τούτου χάριν ὁρμῇ τινι θειοτέρᾳ περὶ τὴν προκειμένην σπουδὴν ἐπαρθεὶς ὁ Φαίδημος, οὐδὲν προσχὼν τῷ μεταξὺ διαστήματι, ᾧπερ ἀπὸ τοῦ Γρηγορίου διείργετο, ὁδὸν τριῶν ἡμερῶν ἐκείνου ἀπέχοντος, ἀλλὰ πρὸς τὸν Θεὸν ἀναβλέψας, καὶ εἰπών, ὁμοίως ἑαυτόν τε, κἀκεῖνον ἐπὶ τῆς ὥρας ἐκείνης, ὑπὸ τοῦ Θεοῦ καθορᾶσθαι, ἀντὶ χειρὸς ἐπάγει τῷ Γρηγορίῳ τὸν λόγον.

4. Ἀφιερώσας οὖν τῷ Θεῷ τὸν σωματικῶς οὐ παρόντα, ἐπεκλήρωσεν αὐτῷ τὴν πόλιν ἐκείνην, ἣν συνέβη μέχρι τῶν τότε χρόνων οὕτω τῇ πλάνῃ κατέχεσθαι, ὥστε ἀπείρων ὄντων τῶν οἰκούντων αὐτήν τε τὴν πόλιν, καὶ τὴν περίοικον, μὴ πλείους εὑρεθῆναι τῶν ἑπτακαίδεκα, τοὺς παραδεδεγμένους τὸν λόγον τῆς Πίστεως· καὶ οὕτως ὁ μέγας ὑπῆλθε τὸν ζυγὸν κατ' ἀνάγκην, πάντων μετὰ ταῦτα τῶν νομίμων ἐπ' αὐτῷ τελεσθέντων.

Ἑρμηνεία

ΚΑΤ' ἐκείνην τὴν ἐποχὴν Ἐπίσκοπος εἰς τὴν Ἐκκλησίαν Ἀμασείας ἦτο ὁ Φαίδημος. Οὗτος ἦτο προικισμένος παρὰ Θεοῦ διὰ προγνωστικοῦ χαρίσματος, ὑπὸ τὴν ἐπίδρασιν δὲ τοῦ χαρίσματος αὐτοῦ κατενόησε ποῖος θησαυρὸς ἐκρύπτετο εἰς τὴν ψυχὴν τοῦ Ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ. Ἀμέσως λοιπὸν ἐσκέφθη πῶς νὰ τὸν πείσῃ νὰ δεχθῇ νὰ λάβῃ ἐκκλησιαστικὸν ἀξίωμα, ὥστε νὰ μὴ διανύσῃ τὸν βίον του ἕνας τόσον ἐνάρετος ἄνθρωπος, χωρὶς νὰ ἐργασθῇ τὸ ἀγαθὸν καὶ νὰ ὠφελήσῃ τὴν Ἐκκλησίαν. Τὰς προθέσεις ὅμως τοῦ Ἐπισκόπου ἀντελήφθη ὁ Μέγας Γρηγόριος καὶ προσεπάθει νὰ ἀποφύγῃ. Πρὸς τοῦτο κατέφευγεν ἐνίοτε καὶ εἰς τὴν ἔρημον.

2. Παρ' ὅλην λοιπὸν τὴν πεῖραν του ὁ Φαίδημος καὶ παρ' ὅλον

ὅ,τι ἐμηχανεύθη διαφόρους τρόπους, δὲν ἠδυνήθη νὰ ἐπιτύχῃ τὴν προσαγωγὴν εἰς τὴν ἱερωσύνην τοῦ Γρηγορίου, διότι οὗτος μὲ χίλια μάτια ἐπρόσεχε, μὴ τυχον ἀπροσδοκήτως χειροτονηθῇ ὑπὸ τοῦ ἐπαγρυπνοῦντος Ἀρχιερέως. Καὶ εἰς τοὺς δύο ὑπῆρχε μία ἐφάμιλλος εἰς δραστηριότητα σπουδή, ἀντιθέτους ὅμως σκοποὺς ἐπιδιώκουσα· ὁ μὲν δηλαδὴ Φαίδημος ἐπεθύμει τὴν χειροτονίαν τοῦ Γρηγορίου, ἐνῷ ὁ Γρηγόριος ἀπέφευγεν. Ὁ Φαίδημος ἐγνώριζεν ὅτι, διὰ τῆς χειροτονίας, θὰ προσέφερεν εἰς τὸν Θεὸν σπουδαιότατον ἀφιέρωμα· ὁ Γρηγόριος ὅμως ἐφοβεῖτο, μήπως ἡ ἐκ τῆς ἱερωσύνης φροντὶς καὶ εὐθύνη παρεμβληθῇ εἰς τὴν ζωήν του ἐμπόδιον καί, τρόπον τινά, φορτίον δυσβάστακτον, ποὺ θὰ τὸν ἀπεμάκρυνεν ἀπὸ τὴν ἱερὰν περὶ τὴν χριστιανικὴν φιλοσοφίαν ἐνασχόλησίν του.

3. Διὰ νὰ ἐπιτύχῃ τὸ ποθούμενον ὁ Φαίδημος καὶ παρακινούμενος ἐνδομύχως ὑπό τινος θεϊκῆς ὁρμῆς, καταλήγει εἰς τὸ ἑξῆς συμπέρασμα περὶ τοῦ τρόπου ἐνεργείας. Νὰ χειροτονήσῃ καὶ μὴ θέλοντα τὸν Γρηγόριον! Οὕτω χωρὶς νὰ λάβῃ ὑπ᾿ ὄψιν του τὴν ἀπόστασιν, ποὺ τὸν ἐχώριζεν ἀπὸ τὸν Γρηγόριον, μῆκος ὁδοῦ τριῶν ἡμερῶν, ἀλλ᾿ ἀναβλέψας πρὸς τὸν Θεόν, διελογίσθη καθ᾿ ἑαυτόν: Αὐτὴν τὴν στιγμὴν καὶ ἐγὼ καὶ ἐκεῖνος εὑρισκόμεθα ἐνώπιον τοῦ Παντεπόπτου Θεοῦ, ὁ ὁποῖος μᾶς βλέπει. Ἑπομένως ἡ ἀπόστασις εἰς οὐδὲν ἐμποδίζει τὴν ἐνέργειαν τοῦ Θεοῦ. Ἀντὶ λοιπὸν νὰ ἐκτείνῃ τὴν χεῖρα του ἐπὶ τῆς κεφαλῆς τοῦ σωματικῶς ἀπόντος Γρηγορίου, ἐκτείνει τὴν χεῖρα του καὶ γράφει τὴν ἀπόφασιν τῆς χειροτονίας, ἀναγνώσας καὶ τὰς σχετικὰς εὐχάς, πάραυτα δὲ ἀποστέλλει εἰς τὸν Γρηγόριον γραπτὴν τὴν χειροτονίαν, παραγγείλας πρὸς αὐτὸν νὰ μὴ γίνῃ παρήκοος τῆς ἐντολῆς.

4. Τοιουτοτρόπως ὁ Φαίδημος ἀφιέρωσεν εἰς τὸν Θεὸν τὸν Γρηγόριον καὶ τοῦ ἀνέθεσε μίαν πόλιν, ἡ ὁποία, μέχρι τῆς στιγμῆς ἐκείνης κατείχετο ὑπὸ τῆς εἰδωλολατρικῆς πλάνης, καὶ ἐκ τῶν πολυαρίθμων κατοίκων τῆς πόλεως καὶ τῆς περιοχῆς της, μόνον δέκα ἑπτὰ ἦσαν Χριστιανοί [1]. Οὕτω λοιπὸν ὁ Μέγας τῆς Νεοκαισαρείας φωστὴρ Γρηγόριος ὑπεισῆλθεν εἰς τὸν ζυγὸν τοῦ ἀξιώματος τῆς ἱερωσύνης· τὸ δὲ τυπικὸν μέρος τῆς χειροτονίας, ἐπίθεσις τῶν χειρῶν τοῦ Ἐπισκόπου ἐπὶ τῆς κεφαλῆς τοῦ χειροτονουμένου καὶ τὰ τοιαῦτα, ἐτελέσθησαν κανονικῶς μετὰ ταῦτα [2].

---

1) Τοσαύτη ὑπῆρξεν ἡ δρᾶσις τοῦ Ἁγίου Γρηγορίου εἰς Νεοκαισάρειαν, ὥστε, καθὰ λέγεται, εἰς τὸ τέλος τοῦ βίου του δέκα ἑπτὰ μόνον εἰδωλολάτραι ὑπελείφθησαν εἰς τὴν πόλιν.

2) Διὰ τῆς τελευταίας ταύτης περικοπῆς ρίπτεται ἄπλετον φῶς εἰς τὴν σκιερὰν ὑπόθεσιν καθ᾿ ἣν ὁ ἱερὸς Φαίδημος φέρεται ὡς τελέσας ἀντικανονικὴν χειροτονίαν, ἀπόντος, δηλαδὴ τοῦ χειροτονουμένου καὶ μάλιστα εἰς τὸν βαθμὸν τοῦ Ἐπισκόπου, ὑπὸ μόνου τοῦ Φαιδήμου, προσέτι δὲ ἄνευ προηγουμένης χειροτονίας τοῦ ὑποψηφίου εἰς Διάκονον καὶ Πρεσβύτερον. Καίτοι μία τοιαύτη χειροτονία θὰ εἶχεν ὑπὲρ ἑαυτῆς τὴν συνηγορίαν ὅτι ἐτελέσθη πρὸ τῆς ὁλοκληρώ-

Γ´. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀμφιλοχίου.

ΤΩ ΜΕΓΑΛΩ Ἀμφιλοχίῳ τεσσαρακοστὸν ἔτος ἤδη που περὶ τὴν ἄσκησιν διανύοντι, τελευτᾷ μὲν τὸν βίον Ἰωάννης ὁ προεδρεύων τότε τῆς Ἰκονέων Ἐκκλησίας, τὸν δὲ ἡ τοῦ Θεοῦ Πρόνοια, ᾗ πάλαι τὰ τῆς καρδίας αὐτοῦ γνώριμα ἦν, εἰς τὸν τοῦ μετακεχωρηκότος τόπον μετακαλεῖται, καὶ ὅπως, προσῆκον εἰπεῖν, καὶ Ἄγγελος Κυρίου τῷ Ἀμφιλοχίῳ παραστάς, Ἀμφιλόχιε, εἶπεν, εἰς τὴν τῶν Ἰκονιέων πορεύου Μητρόπολιν, τῶν λογικῶν μου προβάτων ποιμὴν ἐσόμενος.

2. Ὁ δὲ πρὸς τὴν κλῆσιν ταύτην διαμέλων ἦν, καὶ τὸ κελευσθὲν ποιεῖν ἀνεβάλλετο· δευτέρα νὺξ ἦν, καὶ πάλιν ἡ αὐτὴ κλῆσις καὶ προτροπή, καὶ ἡ ἐκείνου πάλιν ἐπίσης ἀναβολή, δαιμονικὴν ἀπάτην τὸ φαινόμενον ὑποπτεύοντος. Ἐπεὶ δὲ καὶ τρίτη κατέλαβε νύξ, καὶ αὐτὸς ἐπέστη τὰ ὅμοια προτρεπόμενος, τῆς στιβάδος ὁ γενναῖος διαναστάς, ἔδοξε λαβέσθαι τοῦ ὁμιλοῦντος, καὶ εἰ Ἄγγελος εἶ τοῦ Θεοῦ, φησι, δεῦρο στῶμεν εἰς προσευχήν.

3. Ὁ δὲ ἐπείθετο, καὶ τὴν κεφαλὴν κλίνας, Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ, ἀνεβόησε, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης Αὐτοῦ· κρατήσας τοίνυν τὸν Ἀμφιλόχιον τῆς χειρός, τὴν Ἐκκλησίαν ἄμφω καταλαμβάνουσιν· αὐτόματοι δὲ αὐτοῖς αἱ θύραι διεπετάσθησαν, φῶς τε μέγα καὶ ἄῤῥητον περιλάμπον τὴν Ἐκκλησίαν, καὶ ἀνδρῶν πλῆθος περιηθροίσθη.

4. Εἶτα λαβόντες τὸν Ἀμφιλόχιον τῷ θυσιαστηρίῳ προσάγουσιν, ἐπιδόντες ὃ μετὰ χεῖρας ἔφερον, Εὐαγγέλιον δὲ τοῦτο ἐῴκει εἶναι· ὁ Κύριος, εἶπον, εἴη μετὰ σοῦ. Εἷς δὲ ὁ τῶν ἄλλων πρωτεύων φαινόμενος, εὐχῇ ἔφησεν ἑαυτοὺς ἐπιτρέψωμεν, ὥστε καὶ τὴν Χάριν αὐτῷ διαφοιτῆσαι τοῦ Ἁγίου Πνεύματος. Εὐξάμενοι οὖν καί, εἰρήνη σοι, ἐπειπόντες, εὐθὺς ἀπῄεσαν μεσούσης νυκτός. Ὁ δὲ ἐπὶ τοῖς παραδόξοις τούτοις καταπλαγείς, ἅμφω τε πρὸς τὸν οἰκίσκον ἀπῄει.

5. Συναντῶσι δὲ αὐτῷ Ἐπίσκοποι τὸν ἀριθμὸν ἑπτά, οἳ ἐκ θείας ἐμφανείας Ἐπίσκοπον αὐτὸν Ἰκονίου χειροτονῆσαι προετράπησαν, καὶ ἐπιγνόντες αὐτὸν εἶναι τὸν Ἀμφιλόχιον, ὃν ἐκ τῆς θείας ἔμαθον ὄψεως, λαβόντες τοῦτον ὁμοῦ πρὸς τὴν Ἐκκλησίαν ἀφίκοντο, καὶ πάντας τοὺς τῆς ἐπαρχίας Ἐπισκόπους καὶ Κληρικοὺς συναθροίσαντες, τὰ τοῦ πράγματος αὐτοῖς ἀπαγγέλλουσι, καὶ κοινῇ ψήφῳ Ἀρχιερέα καθιστῶσιν αὐτόν, καὶ τῷ τῆς Ἰκονιέων πόλεως θρόνῳ ἐγκαθιδρύουσιν.

Ἑρμηνεία

ΚΑΤΑ τὸ τεσσαρακοστὸν ἔτος τῆς ἀσκήσεως τοῦ Μεγάλου Ἀμφιλοχίου ἐν τῇ ἐρήμῳ, ἀποθνήσκει ὁ Ἐπίσκοπος τῆς Ἐκκλησίας Ἰκονίου Ἰωάννης. Ἀμέσως τότε ἡ Θεία Πρόνοια, ἡ ὁποία ἐγνώριζε καλῶς τὸν θησαυρὸν τῆς καρδίας τοῦ Ἀμφιλοχίου, καλεῖ Αὐτὸν ὡς διάδοχον τοῦ ἐκλιπόντος Μητροπολίτου. Ἀξίζει δὲ νὰ εἴπωμεν καὶ πῶς ἡ εἰς τὴν Ἐπισκοπὴν κλῆσις αὐτοῦ ἐγένετο. Κατὰ τὰς ἡμέρας ἐκείνας Ἄγγελος Κυρίου ἐνεφανίσθη εἰς τὸν Ἀμφιλόχιον καὶ τοῦ εἶπε:

σεως τῆς κανονικῆς διατάξεως τῆς Ἐκκλησίας, ἐν τούτοις, διὰ τῶν ἐνταῦθα ἀναφερομένων, καταφαίνεται ὅτι ἡ καλουμένη ἐκείνη χειροτονία ἦτο ἁπλῆ ἐκλογή, τῆς χειροτονίας τελεσθείσης κανονικῶς, μετὰ τὴν ὑπὸ τοῦ ὑποψηφίου, ἐν προκειμένῳ τοῦ Γρηγορίου, ἀποδοχὴν τῆς ἐκλογῆς του.

—Ἀμφιλόχιε, ὕπαγε εἰς τὴν Μητρόπολιν τοῦ Ἰκονίου, εἰς τὴν ὁποίαν μέλλεις νὰ ἐγκατασταθῇς ποιμὴν τῶν λογικῶν μου προβάτων.

2. Ὁ Ἀμφιλόχιος, ἐκ ταπεινοφροσύνης, δὲν ἔδωσε σημασίαν εἰς τὴν κλῆσιν αὐτὴν καὶ ἀνέβαλε νὰ ἐκτελέσῃ τὸ διαταχθέν. Ἡ κλῆσις ἐπανελήφθη καὶ κατὰ τὴν δευτέραν νύκτα, διὰ τοῦ αὐτοῦ τρόπου, ἀλλὰ καὶ πάλιν ἐκεῖνος ἀνέβαλε νὰ ἐκτελέσῃ τὴν προτροπήν, διότι ἐφοβήθη μήπως πρόκειται περὶ δαιμονικῆς ἀπάτης. Ἐπειδὴ καὶ κατὰ τὴν τρίτην νύκτα εἶδε τὸ ἴδιον ὅραμα ὁ Μέγας Ἀμφιλόχιος καὶ ἐνεφανίσθη ὁ ἴδιος Ἄγγελος προτρέπων τὰ ἴδια πράγματα, πετάγεται ἀπὸ τὸ στρῶμα του ὁ γενναῖος Ἀμφιλόχιος καὶ τοῦ ἐφάνη, ὅτι ἔπιασε τὸν συνομιλητήν του καὶ τοῦ εἶπε:

—Ἐὰν πράγματι εἶσαι Ἄγγελος τοῦ Θεοῦ, ἔλα νὰ προσευχηθῶμεν μαζί.

3. Ὁ Ἄγγελος πράγματι ἐπείσθη καὶ ἀφοῦ ἔκλινεν ἐκ σεβασμοῦ τὴν κεφαλήν του ἀνεβόησε:

—Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης Αὐτοῦ.

Ἐν συνεχείᾳ ὁ Ἄγγελος ἐκράτησεν ἀπὸ τὴν χεῖρα τὸν Ἀμφιλόχιον καὶ φθάνουν καὶ οἱ δύο εἰς τὴν Ἐκκλησίαν. Ἀμέσως ἀνοίγουν ἐνώπιόν των αἱ θύραι τῆς Ἐκκλησίας αὐτομάτως καὶ φῶς μέγα καὶ ὑπερφυσικὸν περιέλαμψε τὸν Ναόν, εἰς τὸν ὁποῖον ἐφάνη ὅτι συνεκεντρώθη καὶ ἀρκετὸν πλῆθος ἀνδρῶν.

4. Μερικοὶ ἐξ αὐτῶν παρέλαβον τότε τὸν Ἀμφιλόχιον καὶ τὸν ὁδηγοῦν ἐνώπιον τοῦ Ἱεροῦ Θυσιαστηρίου. Ἐν τῷ μεταξὺ τοῦ προσφέρουν κάτι ποὺ ἐκράτουν καὶ ποὺ ἐφαίνετο, ὅτι ἦτο μᾶλλον Εὐαγγέλιον, εὐχηθέντες εἰς αὐτόν: Ὁ Κύριος νὰ εἶναι μαζί σου. Ἕνας ἐκ τῆς ὁμηγύρεως, ποὺ ἐφαίνετο νὰ προεξάρχῃ τῆς τελετῆς, εἶπε πρὸς τοὺς παρισταμένους:

—Ἂς προσευχηθῶμεν, διὰ νὰ κατέλθῃ ἐπ᾽ αὐτὸν (τὸν Ἀμφιλόχιον) ἡ Χάρις τοῦ Παναγίου Πνεύματος.

Ἀφοῦ λοιπὸν προσηυχήθησαν καὶ εἶπον, εἰς τὸ τέλος, «εἰρήνη σοι» ἀνεχώρησαν κατὰ τὰ μεσάνυκτα. Ὁ Ἀμφιλόχιος καταπλαγεὶς ἀπὸ αὐτὰ τὰ παράδοξα ἀνεχώρησε καὶ αὐτὸς ἐπιστρέφων εἰς τὸ κελλί του.

5. Εἰς τὸν δρόμον τὸν συναντοῦν ἑπτὰ Ἐπίσκοποι, οἱ ὁποῖοι παρεκινήθησαν ὑπὸ θείου ὁράματος, διὰ νὰ τὸν χειροτονήσουν Ἐπίσκοπον· ἀνεγνώρισαν δὲ τὸν μέχρι τότε ἄγνωστόν των Ἀμφιλόχιον ἀπὸ τὸ ἀποκαλυπτικὸν ὅραμα. Ἀφοῦ λοιπὸν τὸν παρέλαβον, μετέβησαν ἀπὸ κοινοῦ εἰς τὴν Ἐκκλησίαν. Ἐκεῖ συνεκέντρωσαν ὅλον τὸν Κλῆρον καὶ τοὺς Ἐπισκόπους τῆς ἐπαρχίας, ὅπους τοὺς ἀνήγγειλαν τὴν δι᾽ ἀποκαλύψεως ὑποδειχθεῖσαν χειροτονίαν τοῦ Ἀμφιλοχίου εἰς Ἐπίσκοπον. Οὕτω πλέον διὰ κοινῆς ψήφου ὁλοκλήρου τῆς ἐπαρχίας τὸν ἀναδεικνύουν Ἐπίσκοπον, τὸν χειροτονοῦν καὶ τὸν ἐγκαθιστοῦν εἰς τὴν Ἐπισκοπὴν τῆς πόλεως Ἰκονίου.

Δ΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Γρηγορίου Ἀκραγαντίνων.

Ο ΜΕΓΑΣ Γρηγόριος, ὁ Ἀκραγαντίνων Ἐπίσκοπος, τοὺς ὑπὸ τοῦ Πάπα πρὸς ἀναζήτησιν αὐτοῦ σταλέντας Ἐπισκόπους μακρόθεν ἥκοντας θεασάμενος, καὶ γνούς, ὅ,τι βούλοιντο, ἐν τῷ σεμνείῳ τότε τοῦ Ἁγίου Ἑρμοῦ κρυπτόμενος, ὡς οἱ ἄνδρες ἐπέστησαν καὶ αὐτὸν ἀνεζήτησαν, τοῦ κήπου δραμὼν ἐνδοτέρῳ, μέσον τῶν φυτῶν ὑπεκρύβη.

2. Ἐφωράθη δὲ ὑπὸ τοῦ τῆς Μονῆς προεστῶτος, ὃς ὑπὸ τῶν ἀνδρῶν ἐπειγόμενος, οὐκ ἀνῄει κατὰ πᾶν μέρος τοῦ Μοναστηρίου τοῦτον διερευνώμενος, καὶ εὑρὼν ἐν τῷ κήπῳ, ἐπιδραμὼν καὶ τῆς ἐκείνου χειρὸς λαβόμενος, πρὸς τοὺς ζητοῦντας ἐξῆγε, χαλεπαίνων ἅμα καὶ κεκραγώς, καὶ βίᾳ ἕλκων, ὡς μεγάλοις τισὶν ἐγκλήμασιν ἔνοχον.

3. Οἳ καὶ ἰδόντες αὐτόν, τοῖς αὐτοῦ ποσὶν εὐθέως προσπίπτουσι, καὶ ἡδέως αὐτὸν ἀσπασάμενοι, τὰ τοῦ πράγματος αὐτῷ ἀπαγγέλλουσι καὶ ὅπερ ὁ Πάπας ἐκ θειοτέρας ἀποκαλύψεως, σαφῶς τὰ περὶ αὐτοῦ διδαχθείς, καὶ ἐπιτραπεὶς χειροτονῆσαι αὐτὸν Ἐπίσκοπον εἰς Ἀκράγαντα, αὐτοὺς ἀποστέλλει πρὸς ἑαυτὸν τοῦτον μετακαλούμενος.

4. Ὁ δὲ μηκέτι ἀντιλέγειν ἰσχύων, τῷ ταῦτα οὕτως οἰκονομήσαντι Θεῷ ἐπείσθη, καὶ τὴν Ἀρχιερωσύνην ἐδέξατο.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Γρηγόριος ὁ Ἐπίσκοπος Ἀκραγαντίνων, πρὶν γίνη Ἐπίσκοπος, πληροφορηθεὶς ὅτι ἤθελον νὰ τὸν χειροτονήσουν, ἔσπευσε καὶ ἐκρύβη εἰς τὸ Μοναστήριον τοῦ Ἁγίου Ἑρμοῦ (1). Μόλις ὅμως εἶδεν ἀπὸ μακρὰν ἐρχομένους καὶ ἐκεῖ τοὺς ἀποσταλέντας ὑπὸ τοῦ Πάπα Ἐπισκόπους, ἔτρεξε καὶ ἐκρύβη μεταξὺ τῶν θάμνων τοῦ κήπου, εἰς τὸ βάθος, ὥστε νὰ μὴ τὸν ἀνακαλύψουν.

2. Εἰς τὸ σημεῖον αὐτὸ ἀνεκαλύφθη ἀπὸ τὸν Ἡγούμενον τῆς Μονῆς, ὅστις πιεζόμενος ἀπὸ τοὺς ἀπεσταλμένους τοῦ Πάπα, δὲν ἄφησε γωνίαν τοῦ Μοναστηρίου, ποὺ νὰ μὴ ἐρευνήσῃ. Ἀφοῦ τὸν ἀνεκάλυψεν, ἔτρεξε πρὸς αὐτὸν πολὺ στενοχωρημένος καὶ ἀφοῦ τὸν ἔπιασε ἀπὸ τὴν χεῖρα, τὸν ἔσυρε βιαίως διὰ νὰ τὸν παραδώσῃ πρὸς τοὺς ἀναζητοῦντας αὐτόν, κραυγάζων καὶ ἀπειλῶν, διότι ἐνόμιζεν ὅτι ἦτο ἔνοχος μεγάλων ἐγκλημάτων.

3. Ὅταν τὸν εἶδον οἱ ἀντιπρόσωποι τοῦ Πάπα, πίπτουν πρὸ τῶν ποδῶν του καὶ μὲ εὐχαρίστησιν τὸν ἀσπάζονται καὶ τοῦ ἐκθέτουν τὸν σκοπὸν τῆς ἐπισκέψεώς των· ὅτι δηλαδὴ ὁ Πάπας, ἐκ θείας ἀποκαλύψεως, ἐπληροφορήθη λεπτομερῶς τὰ τοῦ βίου του καὶ λαβὼν ἐπιταγὴν ὑπὸ τοῦ Θεοῦ νὰ τὸν χειροτονήσῃ Ἐπίσκοπον εἰς Ἀκράγαντα, τοὺς ἀπέστειλε πρὸς αὐτόν, διὰ νὰ τὸν καλέσουν πλησίον του.

4. Οὕτως ὁ Μέγας Γρηγόριος, μὴ δυνάμενος πλέον νὰ προβάλῃ ἀντίρρησιν πρὸς τὸν οὕτω πως οἰκονομήσαντα Θεόν, ἐπείσθη καὶ ἐδέχθη τὴν Ἀρχιερωσύνην.

---

1) Ἐν ἄλλοις γράφεται Ἑράσμου.

Ε'. Ἐν τῷ Γεροντικῷ.

ΗΛΘΟΝ ποτε οἱ Πατέρες τὸν Ἀββᾶν Ἰσαὰκ ποιῆσαι Πρεσβύτερον· ὁ δὲ ἀκούσας, εἰς Αἴγυπτον ἔφυγε, καὶ ἀπελθὼν εἰς ἀγρόν, ἐκρύβη ἀνὰ μέσον τοῦ χόρτου· οἱ δὲ Πατέρες κατεδίωξαν ὀπίσω αὐτοῦ, καὶ φθάσαντες εἰς τὸν ἀγρὸν ἐκεῖνον, κατέλυσαν ἀναπαυθῆναι μικρὸν ἐκεῖ· ἤδη γὰρ γέγονε νύξ, τὸν δὲ ὄνον ἀπέλυσαν βόσκεσθαι.

2. Ὡς οὖν ὁ ὄνος ἀπῆλθεν, ἔστη ἐπάνω τοῦ Γέροντος, οἱ δὲ Πατέρες πρωῒ ζητοῦντες τὸν ὄνον εὗρον καὶ τὸν Ἰσαὰκ κρυπτόμενον, καὶ κατασχόντες αὐτόν, ἐπεχείρουν δῆσαι· ὁ δὲ οὐκ ἀφῆκεν εἰπών· οὐκέτι φεύγω· θέλημα γὰρ Θεοῦ ἐστι, καὶ ὅπου δ' ἂν φύγω, εἰς αὐτὸ ἔρχομαι.

3. Ἀπῆλθε ποτὲ ὁ Ἀββᾶς Ματόης ἀπὸ τῆς Ῥαϊθοῦ εἰς τὰ μέρη Μαγδάλων· ἦν δὲ καὶ ὁ ἀδελφὸς αὐτοῦ μετ' αὐτοῦ· καὶ κρατήσας ὁ Ἐπίσκοπος τὸν Γέροντα ἐχειροτόνησεν αὐτὸν Πρεσβύτερον, καὶ γενομένων αὐτῶν ὁμοῦ, ἔλεγεν αὐτῷ ὁ Ἐπίσκοπος· συγχώρησόν μοι, Ἀββᾶ, οἶδα, ὅτι οὐκ ἤθελες τὸ πρᾶγμα τοῦτο, ἀλλὰ διὰ τὸ εὐλογηθῆναί με παρὰ σοῦ ἐποίησα τοῦτο.

4. Ἀπεκρίθη δὲ ὁ Γέρων μετὰ ταπεινώσεως· καὶ ὁ λογισμός μου μικρὸν ἤθελε, πλὴν εἰς τοῦτο ἐγὼ κοπιῶ, ὅτι χωρισθῆναι ἔχω ἀπὸ τοῦ ἀδελφοῦ τοῦ μετ' ἐμοῦ· οὐ γὰρ βαστάζω ὅλας τὰς εὐχὰς μόνος ποιῆσαι. Καὶ λέγει ὁ Ἐπίσκοπος· εἰ οἶδας ὅτι ἄξιός ἐστιν, ἐγὼ αὐτὸν χειροτονῶ. Ἔφησεν ὁ Γέρων· εἰ ἄξιός ἐστιν οὐκ οἶδα· ἓν δὲ οἶδα, ὅτι ἐμοῦ καλλίων ἐστίν.

5. Ἐχειροτόνησε δὲ καὶ αὐτόν, καὶ ἐκοιμήθησαν ἀμφότεροι μὴ ἐγγίσαντες τῷ θυσιαστηρίῳ, ἕνεκεν τοῦ ποιῆσαι προσφοράν. Ἔλεγε δὲ ὁ Γέρων· πιστεύω εἰς τὸν Θεόν, ὅτι οὐκ ἔχω κρῖμα πολὺ διὰ τὴν χειροτονίαν, ἐπειδὴ οὐ ποιῶ προσφοράν· τῶν γὰρ ἀμέμπτων ἐστὶν ἡ χειροτονία.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἦλθον οἱ Πατέρες πρὸς τὸν Ἀββᾶν Ἰσαάκ, διὰ νὰ τὸν χειροτονήσουν Πρεσβύτερον. Οὗτος, μόλις τὸ ἐπληροφορήθη, ἔφυγεν εἰς Αἴγυπτον καὶ ἐκρύπτετο εἰς ἕνα ἀγρὸν ἀνάμεσα εἰς τὸ χόρτον. Οἱ Πατέρες ὅμως δὲν τὸν ἄφησαν ἥσυχον· τὸν κατεδίωξαν καί, κατὰ σύμπτωσιν, ἔφθασαν εἰς ἐκεῖνον τὸν ἀγρόν, ὅπου ἐκάθισαν, διὰ νὰ ἀναπαυθοῦν ὀλίγον, διότι ἐν τῷ μεταξὺ εἶχε νυκτώσει. Ἄφησαν δὲ καὶ τὸν ὄνον τους ἐλεύθερον νὰ βοσκήσῃ εἰς τὸ χωράφι.

2. Ὁ ὄνος ἐλεύθερος ἦλθε καὶ ἔβοσκε εἰς τὸ σημεῖον ἀκριβῶς, ποὺ ἐκρύπτετο ὁ Γέρων. Τὸ πρωῒ οἱ Πατέρες, ἀναζητοῦντες τὸν ὄνον, εὗρον κατὰ σύμπτωσιν καὶ τὸν κρυπτόμενον Ἀββᾶν Ἰσαάκ. Οἱ Πατέρες τότε τὸν συνέλαβον καὶ ἐπεχείρησαν νὰ τὸν δέσουν. Ὁ Ἀββᾶς ὅμως Ἰσαὰκ δὲν τοὺς ἄφησε, λέγων πρὸς αὐτούς:

—Δὲν φεύγω πλέον, διότι εἶναι θέλημα Θεοῦ καὶ ὅπου νὰ καταφύγω, θὰ μὲ συναντᾷ τὸ θέλημα τοῦ Θεοῦ.

3. Κάποτε ὁ Ἀββᾶς Ματόης ἦλθεν ἀπὸ τὴν Ῥαϊθὼ εἰς τὰ μέρη τῶν Μαγδάλων. Εἶχε δὲ μαζί του καὶ τὸν ἀδελφόν του. Ὁ Ἐπίσκοπος τῆς ἐπαρχίας ἐκράτησε τὸν Ἀββᾶν Ματόην καὶ τὸν ἐχειροτόνησεν Ἱερέα. Κατὰ τὴν ὥραν ποὺ ἔτρωγαν, λέγει ὁ Ἐπίσκοπος πρὸς τὸν Ἀββᾶν Ματόην:

—Συγχώρεσέ με, Ἀββᾶ· γνωρίζω, ὅτι δὲν ἤθελες αὐτὸ τὸ πρᾶγμα· τὸ ἔκαμα ὅμως καὶ σὲ ἐχειροτόνησα, διὰ νὰ εὐλογηθῶ ἀπὸ σέ.

4. Ὁ Γέρων ἀπὸ ταπεινοφροσύνην καὶ διὰ νὰ μὴ λυπήσῃ τὸν Ἐπίσκοπον τοῦ λέγει:


—Καὶ ἐμοῦ ὁ λογισμὸς τὸ ἤθελε ὀλίγον· ἐκεῖνο ὅμως ποὺ μὲ κουράζει εἶναι ἡ σκέψις πῶς θὰ χωρισθῶ ἀπὸ τὸν ἀδελφόν, ποὺ ἐπὶ τόσα ἔτη συνασκητεύομεν, ἐπὶ πλέον δὲν ἠμπορῶ μόνος μου νὰ τελῶ ὅλας τὰς ἱερατικὰς εὐχάς.

—Ἐὰν γνωρίζῃς, ὅτι εἶναι ἄξιος ὁ ἀδελφὸς—ἐπανέλαβεν ὁ Ἐπίσκοπος—ἐγὼ τὸν χειροτονῶ.

—Ἐὰν εἶναι ἄξιος δὲν γνωρίζω—ἀπήντησε καὶ πάλιν ὁ Ἀββᾶς Ματόης—ἕνα μόνον γνωρίζω, ὅτι εἶναι πολὺ καλλίτερος ἀπὸ ἐμέ.

5. Τότε ὁ Ἐπίσκοπος ἐχειροτόνησε Πρεσβύτερον καὶ τὸν ἀδελφὸν τοῦ Ἀββᾶ Ματόη. Μετὰ καιρὸν ἐκοιμήθησαν καὶ οἱ δύο Ἀσκηταί, χωρὶς νὰ πλησιάσουν τὸ θυσιαστήριον, διὰ νὰ προσφέρουν τὴν ἀναίμακτον θυσίαν, τελοῦντες τὴν Θείαν Λειτουργίαν. Ἐν ὅσῳ δὲ ἔζη ὁ Γέρων ἔλεγεν:

—Πιστεύω, ὅτι δὲν θὰ κατακριθῶ πολύ, διὰ τὴν χειροτονίαν, ἐφ' ὅσον δὲν ἱερουργῶ, διότι ἡ χειροτονία ἀνήκει εἰς τοὺς ἀμέμπτους.





·ὙΠΟΘΕΣΙΣ ΚΗ΄·

Περὶ ἱερωσύνης, ὅτι ὁ ἀναξίως ἱερατεύων βαρυτάτην ἑαυτῷ ἐπισπᾶται τὴν κόλασιν, ὥσπερ καὶ ὁ μετὰ προσοχῆς ἀξίως, καρποῦται τὰ μέγιστα.

Περὶ ἱερωσύνης, ὅτι ἐκεῖνος ποὺ ἀναλαμβάνει ἀναξίως τὰ καθήκοντα τοῦ Ἱερέως προετοιμάζει διὰ τὸν ἑαυτόν του αὐστηροτάτην τιμωρίαν· ὅπως ἀντιθέτως, καὶ ἐκεῖνος, ποὺ ἱερατεύει μετὰ προσοχῆς καὶ παραμένει ἄξιος τοῦ ὑπουργήματος, ὠφελεῖται ψυχικῶς πάρα πολύ.

Α΄. Παλλαδίου.



ΠΑΡΑΒΑΛΩΝ ποτε τῷ Ἁγίῳ Μακαρίῳ τῷ Ἀλεξανδρεῖ, εὗρον ἔξω τῆς κέλλης αὐτοῦ Πρεσβύτερον κώμης τινὸς κατακείμενον, οὗ ἡ κεφαλὴ ἐβέβρωτο, ὡς αὐτὸ τὸ ὀστοῦν ἀπὸ τῆς κορυφῆς φαίνεσθαι ἅπαν ὑπὸ τοῦ πάθους τοῦ λεγομένου καρκίνου, καὶ τοῦτον οὐδὲ ἐν συντυχίᾳ ἐδέχετο.

2. Παρεκάλεσα τοίνυν αὐτὸν λέγων· κατοικτείρησον, δέομαί σου, τοῦτον τὸν ἄθλιον, καὶ δὸς αὐτῷ κἂν ἀπόκρισιν. Καὶ λέγει μοι, ὅτι ἀνάξιός ἐστι τοῦ ἰαθῆναι· παιδεία γὰρ αὐτῷ ἀπεστάλη αὕτη. Εἰ δὲ θέλεις αὐτὸν ἰαθῆναι, πεῖσον αὐτὸν ἀποστῆναι τῆς λειτουργίας. Καὶ εἶπον ἐγώ· διατί, δέομαί σου; Καὶ λέγει μοι· πορνεύων λειτουργεῖ, καὶ διὰ τοῦτο παιδεύεται· ἐὰν οὖν ἀποστῇ φόβῳ, ὧν καταφρονῶν κατετόλμησεν, ὁ Θεὸς ἰᾶται αὐτόν.

3. Κἀγὼ εἶπον τῷ πάσχοντι· ὁ δὲ συνέθετο, ὀμόσας ἐπὶ Θεοῦ μηκέτι ἱερατεῦσαι, καὶ τότε αὐτὸν ἐδέξατο, καὶ λέγει αὐτῷ· πιστεύεις, ὅτι ἔστι Θεός, ὃν οὐδὲν λανθάνει; Καὶ ἀπεκρίθη· ναί, δέομαί σου. Εἶτα λέγει αὐτῷ· μὴ ἠδυνήθης διαπαῖξαι Αὐτόν; Καὶ λέγει ἐκεῖνος· οὐκ ἠδυνήθην, κύριέ μου. Λέγει ὁ Μέγας· εἰ γνωρίζεις σου τὴν ἁμαρτίαν, καὶ τὴν τοῦ Θεοῦ παιδείαν, δι᾽ ἣν ταῦτα ὑπέστης, διόρθωσαι εἰς τὸ ἑξῆς.

4. Καὶ ἐξωμολογήσατο τὴν ἁμαρτίαν, καὶ ἔδωκε λόγον τοῦ μηκέτι ἁμαρτῆσαι, μήτε λειτουργῆσαι τῷ Θυσιαστηρίῳ, ἀλλὰ τὸν λαϊκὸν ἀσπάσασθαι κλῆρον, εἶθ᾽ οὕτως ἐπέθηκεν αὐτῷ χεῖρας ὁ Ἅγιος, καὶ ἐν ὀλίγαις ἡμέραις ἰάθη καὶ ἐτρίχωσε, καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν Θεὸν καὶ εὐχαριστῶν τῷ Ἁγίῳ.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἐπεσκέφθην τὸν Ἅγιον Μακάριον, τὸν Ἀλεξανδρινόν. Ἔξω ἀπὸ τὸ κελλί του εὗρον τὸν Ἱερέα ἑνὸς χωρίου, ἐξηπλωμένον πρὸ τῆς θύρας. Τὸ δέρμα τῆς κεφαλῆς του ἦτο καταφαγωμένον ἀπὸ καρκίνον, ὥστε νὰ φαίνωνται τὰ ὀστᾶ τοῦ κρανίου. Ὁ Ἅγιος Μακάριος ὅμως οὔτε νὰ τὸν συναντήσῃ δὲν ἤθελε.

2. Παρεκάλεσα τότε τὸν Ἅγιον νὰ λυπηθῇ αὐτὸν τὸν δυστυχῆ καὶ νὰ τοῦ εἴπῃ τοὐλάχιστον ἕνα παρηγορητικὸν λόγον.

—Εἶναι ἀνάξιος νὰ θεραπευθῇ—μοῦ ἀπαντᾷ·—ἡ ἀσθένεια αὐτὴ τοῦ ἐδόθη πρὸς τιμωρίαν του. Ἐὰν λοιπὸν θέλῃς νὰ θεραπευθῇ, πρέπει προηγουμένως νὰ τὸν πείσῃς νὰ παύσῃ νὰ λειτουργῇ.

—Διατί, σὲ παρακαλῶ, Πάτερ;—ἠρώτησα ἔκπληκτος.

—Διότι—μοῦ ἀπήντησεν—ἐνῷ πορνεύει, λειτουργεῖ καὶ δι᾿ αὐτὸ τιμωρεῖται. Ἐὰν λοιπόν, μετὰ φόβου, ἀπομακρυνθῇ ἀπὸ ὅσα, ἐκ καταφρονήσεως, κατετόλμησεν, ἀσφαλῶς ὁ Θεὸς θὰ τὸν θεραπεύσῃ.

3. Διεβίβασα τοὺς λόγους τούτους εἰς τὸν πάσχοντα καὶ ἐκεῖνος συνεφώνησεν, ὁρκισθεὶς ἐνώπιον τοῦ Θεοῦ νὰ μὴ ἱερατεύσῃ πλέον οὐδέποτε. Τότε καὶ ὁ Ἅγιος τὸν ἐδέχθη καὶ λέγει πρὸς αὐτόν:

—Πιστεύεις ὅτι ὑπάρχει Θεός, ἀπὸ τὸν ὁποῖον τίποτε δὲν δύναται νὰ παραμείνῃ κρυπτόν;

—Ναί, σὲ παρακαλῶ—ἀπήντησεν ἐκεῖνος.

—Μήπως—ἐρωτᾷ ὁ Ὅσιος—ἠδυνήθης νὰ τὸν περιπαίξῃς;

—Ὄχι, κύριέ μου—λέγει πάλιν ὁ ἀσθενὴς—δὲν ἠδυνήθην.

—Ἐφ᾿ ὅσον λοιπὸν—λέγει ὁ θεῖος Μακάριος—γνωρίζεις τὴν ἁμαρτίαν σου καὶ τὴν τιμωρίαν τοῦ Θεοῦ, τὴν ὁποίαν ὑπέστης, ἐξ αἰτίας αὐτῆς τῆς ἁμαρτίας, νὰ διορθωθῇς εἰς τὸ ἑξῆς.

4. Πράγματι ὁ πάσχων Κληρικὸς ἐξωμολογήθη τὰς ἁμαρτίας του καὶ ἔδωσε λόγον νὰ μὴ περιπέσῃ εἰς ἁμαρτίαν κατὰ τὸ μέλλον, ἀλλ᾿ οὔτε καὶ νὰ λειτουργήσῃ πλέον, ἐπανερχόμενος εἰς τὴν τάξιν τῶν λαϊκῶν. Κατόπιν αὐτοῦ ὁ Ἅγιος Μακάριος ἔθεσεν ἐπάνω του τὰς χεῖρας του καὶ ἐντὸς ὀλίγων ἡμερῶν ἐθεραπεύθη ἡ κεφαλή του καὶ πάλιν ἐφύτρωσε τρίχας ἐκεῖ ποὺ ἦτο ἡ πληγή· μεθ᾿ ὃ ἀνεχώρησε διὰ τὴν οἰκίαν του δοξάζων τὸν Θεὸν καὶ εὐχαριστῶν τὸν Ἅγιον.

Β΄. Γρηγορίου τοῦ Διαλόγου.

ΚΛΗΡΙΚΟΣ ΤΙΣ ἐκ τῆς Ἀκηνῶν Ἐκκλησίας, ὑπὸ δαίμονος ἀκαθάρτου ὠχλεῖτο· ὁ δὲ τούτου Ὁσιώτατος Ἐπίσκοπος Κωνσταντῖνος, ἐν διαφόροις τῶν Ἁγίων κοιμητηρίοις πολλάκις τοῦτον ἀπέστειλεν, ὅπως ἰαθῇ, ἀλλ᾿ οὐκ ἰάθη. Ὕστερον δὲ ἀπηνέχθη ὁ ἀσθενῶν πρὸς τὸν τοῦ Θεοῦ δοῦλον Βενέδικτον, ὃς τοῦ Θεοῦ δεηθείς, τὸ ἀκάθαρτον πνεῦμα ἐξ αὐτοῦ ἀπελάσας, ὑγιῆ τοῦτον, τῇ τοῦ Χριστοῦ Χάριτι, ἀποκατέστησεν. Ἀπέλυσεν οὖν αὐτὸν εἰρηκὼς αὐτῷ· ἄπελθε, ἰδοὺ ὑγιὴς γέγονας, κρέα μὴ φάγῃς μηδὲ ἱερατικοῦ βαθμοῦ ἐπιβῇς· ᾗ δ᾿ ἂν ἡμέρᾳ ἱερατικὸν ἀξίωμα δέξασθαι τολμήσῃς, εὐθέως ὑπὸ τὴν ἐξουσίαν τοῦ ἀκαθάρτου δαίμονος ἀνελεημόνως ὑποβληθήσῃ.

2. Ἀπελθὼν δὲ εἰς τὰ ἴδια ἐπελάθετο τῆς παρὰ τοῦ Ἁγίου δοθείσης αὐτῷ ἐντολῆς, καὶ μετὰ ἐτῶν πολλῶν περίοδον, ἡνίκα ἐθεάσατο τοὺς πρωτεύοντας ἐν τῷ ἱερῷ καταλόγῳ ἐκ τοῦδε τοῦ βίου μεταστάντας, καὶ τοὺς ἑαυτοῦ ἐλάσσονας ἐν ἱερατικῷ προβαίνοντας τάγματι, λήθην, ὡς εἴρηται, ὑπομείνας τῶν παρὰ τοῦ Ἁγίου Πατρὸς πρὸς αὐτὸν γενομένων νουθεσιῶν, ἱερατικοῦ ἐπέβη τάγματος, καὶ παραυτα εἰς αὐτὸν ὁ δαίμων, ὥσπερ ἀνήμερος θὴρ εἰσοικισθείς, ἀνηλεῶς τοῦτον διεσπάραττε μέχρι θανάτου.

Ἑρμηνεία

ΕΝΑΣ Κληρικὸς τῆς Ἐκκλησίας τῶν Ἀκηνῶν ἠνωχλεῖτο ὑπὸ ἀκαθάρτου δαίμονος· ὁ δὲ Ὁσιώτατος Ἐπίσκοπός του Κωνσταντῖνος τὸν ἔστειλε πολλὰς φορὰς εἰς τοὺς τάφους διαφόρων Ἁγίων, διὰ νὰ θεραπευθῇ, ἀλλὰ δὲν ἐθεραπεύθη. Ὕστερα ἀπὸ πολὺν χρόνον μετέφεραν τὸν ἀσθενῆ αὐτὸν Κληρικὸν πρὸς τὸν δοῦλον τοῦ Θεοῦ Βενέδικτον, ὁ ὁποῖος, κατόπιν θερμῆς δεήσεως πρὸς τὸν Θεόν, ἀπεδίωξε τὸ ἀκάθαρτον πνεῦμα ἀπὸ αὐτὸν καί, μὲ τὴν Χάριν τοῦ Χριστοῦ, τὸν ἔκαμε καλά. Ἀφοῦ λοιπὸν ὁ Ὅσιος Βενέδικτος τὸν ἐθεράπευσε, τοῦ εἶπε· «Πήγαινε τώρα· ἰδού, ἔγινες καλά. Πρόσεξε νὰ μὴ φάγῃς εἰς τὴν ζωήν σου κρέας καὶ νὰ μὴ ἐπιζητήσῃς νὰ λάβῃς χειροτονίαν Κληρικοῦ [1] μεγαλυτέρου βαθμοῦ. Ὁπόταν δὲ τολμήσῃς νὰ δεχθῇς ἱερατικὸν ἀξίωμα, ἀμέσως τότε θὰ ὑποπέσῃς ὑπὸ τὴν ἀνελεήμονα ἐξουσίαν τοῦ ἀκαθάρτου δαίμονος».

2. Ὁ θεραπευθεὶς μετέβη εἰς τὴν οἰκίαν του καὶ ἐπί τι διάστημα ἡσύχαζεν ὑγιαίνων. Ἐν τῷ μεταξὺ ὅμως ἐλησμόνησε τὴν ἐντολὴν τοῦ θεραπεύσαντος αὐτὸν Ὁσίου Βενεδίκτου. Ὕστερα ἀπὸ πολλὰ ἔτη βλέπων, ὅτι οἱ πρωτεύοντες εἰς τοὺς ἱερατικοὺς καταλόγους ἀπέθνῃσκον καὶ ὅτι ἀνήρχοντο εἰς τὰς βαθμίδας τοῦ ἱερατικοῦ τάγματος οἱ κατώτεροί του, ἐξέχασεν, ὅπως ἐλέχθη ἀνωτέρω, τὰς συμβουλὰς τοῦ Ἁγίου Πατρὸς καὶ ἀνέλαβε, διὰ χειροτονίας, ἱερατικὸν ἀξίωμα. Ἀμέσως ὅμως τότε ὁ δαίμων, ὡς ἄγριον θηρίον, ποὺ κλείεται εἰς στενὸν χῶρον, εἰσῆλθε μέσα του καὶ τὸν κατεσπάραξεν ἀλύπητα μέχρι θανάτου!

Γ'. Ἐν τῷ Γεροντικῷ.

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Μάρκου τοῦ Αἰγυπτίου, ὅτι ἔμεινε τριάκοντα ἔτη μὴ ἐξερχόμενος ἐκ τοῦ κελλίου αὐτοῦ. Εἶχε δὲ ὁ Πρεσβύτερος ἔθος ἔρχεσθαι καὶ ποιεῖν αὐτῷ τὴν ἁγίαν προσφοράν. Ὁ δὲ διάβολος, θεωρήσας τὴν τοῦ ἀνδρὸς ὑπομονὴν τὴν ἐνάρετον, ἐπανουργεύσατο πειράσαι αὐτόν, καὶ παρασκευάσαι τινὰ πνευματιῶντα πρὸς τὸν Γέροντα προφάσει εὐχῆς ἀπελθεῖν.

2. Ὃς καὶ πρὸ παντὸς λόγου προσεφώνει τῷ Γέροντι· ὁ Πρεσβύτερός σου ἔχει ὀσμὴν ἁμαρτίας ἀκμήν, μηκέτι οὖν ἐάσῃς αὐτὸν εἰσελθεῖν πρός σε. Ὁ δὲ θεῖος πιστὸς ἀνήρ, εἶπε πρὸς αὐτόν· πάντες τὴν ἀκαθαρσίαν ἔξω βάλλουσι, σὺ δὲ ἤνεγκας αὐτὴν πρός με· ἀλλὰ γέγραπται· «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε»· ὅμως εἰ ἁμαρτωλός ἐστιν, ὁ Θεὸς σώσει αὐτόν. Γέγραπται γάρ· «εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε»· καὶ ἐπὶ τῷ λόγῳ τούτῳ ποιήσας εὐχήν, ἐφυγάδευσε τὸν δαίμονα ἀπὸ τοῦ ἀνθρώπου, καὶ ἀπέλυσε τὸν ἄνθρωπον ὑγιῆ.

3. Ὡς δὲ ἦλθεν ὁ Πρεσβύτερος κατὰ τὸ ἔθος, ὑπεδέξατο αὐτὸν ὁ Γέρων μετὰ χαρᾶς· ὁ δὲ ἀγαθὸς Θεός, ἰδὼν τὴν ἀκακίαν τοῦ Γέροντος, ἔδειξεν αὐτῷ σημεῖον· μέλλοντος γὰρ τοῦ Ἱερέως στῆναι ἔμπροσθεν τῆς Ἁγίας Τραπέζης, καθὼς ὁ Γέρων ὕστερον διηγήσατο, εἶδεν Ἄγγελον κατελθόντα, καὶ θέντα τὴν χεῖρα

---

1) Κληρικοὶ ἐλέγοντο καὶ οἱ Ἀναγνῶσται καὶ οἱ Ψάλται· καὶ τοιοῦτος, φαίνεται, θὰ ἦτο ὁ ἀναφερόμενος ἀσθενής. Βλέπε καὶ ὑποσημ. σελ. 249.

αὐτοῦ εἰς τὴν κεφαλὴν τοῦ Κληρικοῦ, καὶ ἐγένετο ὁ Κληρικὸς ὡς στῦλος πυρός.

4. Καὶ ἐκπλαγεὶς ὁ Γέρων ἐπὶ τῇ ξένῃ ταύτῃ ὁράσει, ἤκουσε φωνὴν λέγουσαν πρὸς αὐτόν· ἄνθρωπε, τί τεθαύμακας ἐπὶ τῷ πράγματι τούτῳ; εἰ γὰρ βασιλεὺς ἐπίγειος οὐ μὴ ἐάσῃ τοὺς μεγιστᾶνας αὐτοῦ στῆναι ῥυπαροὺς ἔμπροσθεν Αὐτοῦ, ἀλλὰ μετὰ δόξης πολλῆς, πόσῳ μᾶλλον ἡ θεία Δύναμις οὐ καθαρίσει τοὺς λειτουργοὺς τῶν Ἁγίων Μυστηρίων στήκοντας ἔμπροσθεν τῆς οὐρανίου δόξης;

5. Ἑτέρῳ Ἀναχωρητῇ Πρεσβύτερός τις τοῦ Κλήρου εἰώθει παραβάλλειν, καὶ ποιεῖν ἐν αὐτῷ τὴν προσφοράν, ὄντι παντελῶς ἀπροΐτῳ. Ἐν μιᾷ οὖν ἦλθε πρὸς αὐτόν τις, διαβάλλων τὸν Πρεσβύτερον, καὶ μυρίας κατ' αὐτοῦ λέγων κατηγορίας, αἷς συναπαχθεὶς ὁ Ἀναχωρητής, ἐλθόντι κατὰ συνήθειαν τῷ Πρεσβυτέρῳ ποιῆσαι τὴν προσφοράν, οὐκ ἤνοιξε.

6. Καὶ ἰδοὺ φωνὴ πρὸς τὸν Ἀναχωρητὴν λέγουσα· ἦραν οἱ ἄνθρωποι τὸ κρῖμά μου. Καὶ ἅμα τῇ φωνῇ γέγονεν ὁ Ἀναχωρητὴς ἐν ἐκστάσει, καὶ ὁρᾷ λάκκον χρυσοῦν, καὶ σχοινίον χρυσοῦν καὶ κάδδον χρυσοῦν καὶ ὕδωρ ἐν τῷ λάκκῳ καθαρόν τε καὶ διαυγές· κελεφὸς δέ τις ἄνωθεν τοῦ λάκκου ἑστώς, ἤντλει ἐξ αὐτοῦ καὶ μετέβαλλε, καὶ βουλόμενος ὁ Ἀναχωρητὴς πιεῖν ἐκ τοῦ ὕδατος, ὑπεστέλλετο καὶ οὐκ ἔπινε, διὰ τὸ κελεφὸν εἶναι τὸν ἀντλοῦντα.

7. Καὶ ἰδοὺ πάλιν φωνὴ γέγονε πρὸς αὐτὸν λέγουσα· διατί οὐ πίνεις ἐκ τοῦ ὕδατος; τί πρᾶγμα ἔχει ὁ κελεφὸς ἀντλῶν; ἀντλεῖ γὰρ καὶ μεταβάλλει. Ὁ δὲ εἰς ἑαυτὸν ἐλθών, καὶ διακρίνας τὴν δύναμιν τῆς ὀπτασίας, καλεῖ τὸν Πρεσβύτερον, καὶ παρασκευάζει ποιεῖν αὐτῷ τὴν προσφορὰν ὡς πρότερον.

Ἑρμηνεία

ΕΛΕΓΟΝ διὰ τὸν Ἀββᾶν Μᾶρκον τὸν Αἰγύπτιον, ὅτι ἐπὶ τριάκοντα ἔτη παρέμενεν ἔγκλειστος, χωρὶς νὰ ἐξέλθῃ οὐδόλως ἐκ τοῦ κελλίου του. Ὁ Πρεσβύτερος τῆς Σκήτης ἐσυνήθιζε νὰ μεταβαίνῃ εἰς τὸ κελλί του καὶ ἐκεῖ νὰ τελῇ τὴν Θείαν Λειτουργίαν. Ὁ διάβολος, βλέπων τὴν ὑπομονὴν καὶ τὴν ἀρετὴν τοῦ Ἁγίου, ἐπανουργεύθη νὰ τὸν πειράξῃ. Ὅθεν προητοίμασε πρὸς τοῦτο, διὰ καταλλήλων ὑποδείξεων, κάποιον ἐνοχλούμενον ὑπὸ ἀκαθάρτων πνευμάτων, νὰ τὸν ἐπισκεφθῇ, μὲ τὸ πρόσχημα, δῆθεν, νὰ λάβῃ τὴν εὐχὴν τοῦ Ἀββᾶ Μάρκου.

2. Οὗτος λοιπὸν ἐπισκεφθεὶς τὸν Ἅγιον, πρὶν εἰσέτι τοῦ ἀπευθύνῃ ἄλλην λέξιν, λέγει πρὸς τὸν Γέροντα:

—Ὁ Πρεσβύτερός σου ἐκπέμπει ἀκόμη ὀσμὴν ἀπὸ ἁμαρτίας· μὴ τὸν ἀφήσῃς λοιπὸν ἄλλην φορὰν νὰ εἰσέλθῃ εἰς τὸ κελλί σου.

Εἰς τοὺς λόγους τούτους ὁ θεῖος ἀνήρ, ποὺ ἦτο πράγματι πιστός, ἀπήντησεν:

—Ὅλοι ἀφήνουν ἔξω τὴν ἀκαθαρσίαν· σὺ τὴν ἔφερες κοντά μου. Μὴ λησμονῇς ὅμως τί γράφει ἡ Ἁγία Γραφή· «Μὴ κρίνετε ἵνα μὴ κριθῆτε» (Ματθ. ζ' 1). Ἐὰν εἶναι ἁμαρτωλὸς ὁ Πρεσβύτερός μου, θὰ τὸν σώσῃ ὁ Θεός. Εἶναι δὲ γεγραμμένον εἰς τὴν Ἁγίαν Γραφήν· «εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε» (Ἰακ. ε' 16).

Τοῦτο εἰπὼν ὁ Ὅσιος προσηυχήθη ὑπὲρ τοῦ ἐπισκέπτου του καὶ ἐδίωξε τὸν δαίμονα ἀπ' αὐτοῦ Οὕτω ὑγιᾶ πλέον τὸν ἄφησε νὰ φύγῃ.

3. Μετὰ τὴν ἐπίσκεψιν αὐτήν, μόλις ἦλθεν ὁ Πρεσβύτερος, κατὰ τὴν συνήθειαν, ὁ Γέρων τὸν ὑπεδέχθη μὲ μεγάλην χαράν. Ὁ καλὸς Θεός, βλέπων τὴν ἀκακίαν τοῦ Γέροντος, τοῦ ἔδειξεν ἀποκαλυπτικὸν σημεῖον. Ἰδοὺ λοιπὸν τὶ συνέβη, ὅπως διηγήθη ἀργότερα ὁ ἴδιος: Ὅταν ἐπρόκειτο ὁ Ἱερεὺς νὰ σταθῇ ἔμπροσθεν τῆς Ἁγίας Τραπέζης, διὰ νὰ τελέσῃ τὴν Θείαν Μυσταγωγίαν, εἶδε νὰ κατέρχεται εἷς Ἄγγελος καὶ νὰ θέτῃ τὴν χεῖρα του ἐπάνω εἰς τὴν κεφαλὴν τοῦ Κληρικοῦ· κατόπιν αὐτοῦ ὁ Κληρικὸς ἔγινεν ὡς πύρινος στῦλος.

4. Ἀπὸ αὐτὸ τὸ περίεργον ὅραμα ἐξεπλάγη ὁ Γέρων. Ἐνῷ δὲ συνείχετο ἀπὸ τὴν κατάπληξιν αὐτήν, ἤκουσε μίαν φωνήν, ποὺ τοῦ ἔλεγεν· «Ἄνθρωπε, διατὶ ἔχεις θαυμάσει δι᾽ αὐτὸ τὸ πρᾶγμα; Ἐὰν ἕνας ἐπίγειος βασιλεὺς δὲν εἶναι δυνατὸν νὰ ἀφήσῃ τοὺς μεγιστᾶνας του νὰ ἐμφανισθοῦν ρυπαροὶ ἐνώπιον του, ἀλλὰ τοὺς θέλει περιβεβλημένους μὲ πολλὴν λαμπρότητα, πόσῳ μᾶλλον ἡ Θεία Δύναμις δὲν θὰ καθαρίσῃ ἀπὸ παντὸς ρύπου τοὺς λειτουργοὺς τῶν Ἁγίων Μυστηρίων, ὅταν στέκωνται ἔμπροσθεν τῆς οὐρανίου δόξης»;

5. Ἰδοὺ καὶ ἕνα ἄλλο σχετικὸν περιστατικόν. Ἕνας Πρεσβύτερος ἐπεσκέπτετο ἕνα Ἀναχωρητὴν εἰς τὸ Ἀσκητήριόν του καὶ ἐτέλει ἐκεῖ τὴν Θείαν Μυσταγωγίαν, ἐπειδὴ ὁ Ἀναχωρητὴς ἦτο ἔγκλειστος καὶ οὐδόλως ἐξήρχετο. Κάποτε λοιπὸν ἐπεσκέφθη τὸν Ἀναχωρητὴν ἕνας ἄνθρωπος καὶ ἐξετόξευσε κατὰ τοῦ Πρεσβυτέρου ἀναριθμήτους κατηγορίας. Αὐταὶ αἱ κατηγορίαι ἐπηρέασαν τὸν Ἀναχωρητὴν καὶ διεμόρφωσαν εἰς τὴν ψυχήν του μίαν ἀντιπάθειαν κατὰ τοῦ Πρεσβυτέρου. Ὅταν λοιπὸν ἦλθε, κατὰ τὴν συνήθειαν του, ὁ Πρεσβύτερος διὰ νὰ λειτουργήσῃ, δὲν τοῦ ἤνοιξεν.


6. Ἀμέσως ὅμως ἠκούσθη φωνὴ λέγουσα πρὸς τὸν Ἀναχωρητήν· «οἱ ἄνθρωποι μοῦ ἀφῄρεσαν τὸ δικαίωμα τῆς κρίσεως». Συγχρόνως ὁ Ἀναχωρητὴς περιέπεσεν εἰς ἔκστασιν καὶ βλέπει τὸ ἑξῆς καταπληκτικὸν ὅραμα: Βλέπει ἕνα χρυσὸ πηγάδι, ἕνα χρυσὸ σχοινὶ καὶ ἕνα κάδον χρυσόν· μέσα δὲ εἰς τὸ πηγάδι ὑπῆρχεν ὕδωρ καθαρὸν καὶ διαυγές. Ὑπεράνω τοῦ πηγαδιοῦ ἐστέκετο ἕνας λεπρός, ὁ ὁποῖος ἤντλει ἀπὸ αὐτὸ τὸ πηγάδι καὶ ἄδειαζε τὸ νερό. Ὁ Ἀναχωρητής, καίτοι ἐπεθύμει νὰ πίῃ ἐκ τοῦ ὕδατος, ἐν τούτοις συνεστέλλετο καὶ δὲν ἔπινεν, ἐπειδὴ ἔβγαζε τὸ νερὸ ὁ λεπρός.

7. Τότε πάλιν ἀκούει δευτέραν φωνήν, ποὺ τοῦ ἔλεγε:

—Διατί δὲν πίνεις ἀπὸ τὸ νερό; δὲν βλέπεις μὲ τί δοχεῖον ἀντλεῖ τὸ ὕδωρ ὁ λεπρός; Οὗτος ἀντλεῖ μόνον τὸ νερὸ καὶ τὸ ἀδειάζει.

Κατόπιν αὐτοῦ ὁ Ἀναχωρητὴς συνῆλθε καὶ ἀντελήφθη τὴν σημασίαν τῆς ὀπτασίας. Ἀμέσως λοιπὸν καλεῖ τὸν Πρεσβύτερον καὶ τὸν προέτρεψε νὰ τελέσῃ τὴν Θείαν Μυσταγωγίαν, ὅπως καὶ πρότερον.





ΥΠΟΘΕΣΙΣ ΚΘ΄

Ὅτι καὶ τὸ καθ' ἑκάστην ἱερουργεῖν, μεγίστην προξενεῖ τὴν ὠφέλειαν· διὸ καὶ παρὰ τοῖς πατράσιν εὑρίσκεται τοῦτο γινόμενον· καὶ ὅτι ἐν τῇ ἱερᾷ θυσίᾳ, τὰ οὐράνια τοῖς ἐπιγείοις συνάπτονται.

Ἡ καθημερινὴ Λειτουργία προξενεῖ μεγίστην ὠφέλειαν· δι' αὐτὸ καὶ οἱ Πατέρες καθ' ἑκάστην ἱερούργουν. Κατὰ τὴν Θείαν Λειτουργίαν ἑνώνονται τὰ οὐράνια μὲ τὰ ἐπίγεια.

Α΄. Γρηγορίου τοῦ Διαλόγου





ΗΑΣΙΟΣ ὁ τῆς πόλεως Ναρνίας Ἐπίσκοπος, ἀνὴρ εὐλαβέστατος πάνυ, καθ' ἡμέραν τῷ Θεῷ θυσίαν ἀναίμακτον προσφέρειν εἰώθει μετὰ δακρύων πολλῶν.

2. Ἐν μιᾷ οὖν ἔνδον τοῦ Θυσιαστηρίου ὑπάρχων, ἀπόφασιν παρὰ Κυρίῳ ἐδέξατο δι' ὀπτασίας τινὸς ἰδίου αὐτοῦ Πρεσβυτέρου λέγοντος· ἐργάζου ὅπερ ἐργάζῃ καὶ μὴ παυσάσθω ἡ χείρ σου, μηδὲ ὁ πούς σου· τῇ γὰρ ἑορτῇ τῶν Ἀποστόλων ἔρχῃ πρός με, καὶ ἀποδίδωμί σοι τὸν μισθόν σου· ὃς μετὰ χρόνους ἑπτὰ ἐν τῇ αὐτῇ ἡμέρᾳ τῆς τῶν Ἀποστόλων ἑορτῆς, ἐπιτελέσας τὰ θεῖα Μυστήρια, καὶ μεταλαβὼν τῆς θείας Κοινωνίας, τῶν δεσμῶν ἀπελύθη τοῦ σώματος.

3. Δῆλον οὖν ἐστι, Πέτρε, ὅτι εἰ τοὺς τεθνεῶτας οὕτως εὐεργετεῖ ἡ ὑπὲρ αὐτῶν θυσία ὡς καὶ ἐν ἄλλοις εἴπομεν, πόσον μᾶλλον τοὺς ζῶντας ὠφελεῖν δύναται; Κρείττων γὰρ ὁδὸς τῶν ἄλλων πασῶν αὕτη ὑπάρχει, ἵνα ἕκαστος τὸ ἀγαθόν, ὅπερ μετὰ θάνατον αὐτοῦ ἐλπίζει, ὑπὲρ ἑαυτοῦ ποιήσῃ· μακαριώτερον γάρ ἐστιν ἐλεύθερόν τινα ἐξελθεῖν, ἢ μετὰ δεσμοὺς ἐλευθερίαν ζητεῖν.

4. Ὀφείλομεν οὖν τὸν παρόντα κόσμον, ἐν ὅλῳ τῷ λογισμῷ παροικτώσασθαι, ὁρῶντες αὐτὸν ἤδη ἐκλείποντα, καὶ μετὰ δακρύων τῷ Θεῷ καθημερινὰς θύειν θυσίας, διὰ τῆς Σαρκὸς Αὐτοῦ καὶ τοῦ Αἵματος· αὕτη γὰρ καὶ μόνη ἡ θυσία ἐκ τοῦ αἰωνίου θανάτου τὴν ψυχὴν ῥύεται.

5. Καὶ διὰ τοῦ Μυστηρίου τούτου εἰς ἀνάμνησιν ἐρχόμεθα τοῦ θανάτου τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ὃς ἐκ νεκρῶν ἀναστάς, οὐκέτι λοιπὸν θνήσκει· «θάνατος αὐτοῦ οὐκέτι κυριεύει»· ἀθάνατος δὲ καὶ ἄφθαρτος διαμένων, δι' ἡμᾶς πάλιν θύεται διὰ τοῦ μυστηρίου τῆς ἱερᾶς θυσίας· ἡ γὰρ Αὐτοῦ Σάρξ, ἐκεῖσε μερίζεται εἰς τὴν τοῦ λαοῦ σωτηρίαν ὁμοίως καὶ τὸ Αἷμα αὐτοῦ· οὐχὶ λοιπὸν εἰς χεῖρας τῶν ἀπίστων, ἀλλ' εἰς τὰ τῶν πιστῶν στόματα ἐκχέεται.

6. Ἐν τούτῳ οὖν κατανοήσωμεν ὁποία ὑπάρχει αὕτη ἡ θυσία, ὅτι διὰ τὴν ἡμετέραν ἀπολύτρωσιν τὸ Πάθος τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ πάντοτε μιμεῖται. Τὶς δὲ τῶν πιστῶν διστάσαι δύναται, ὅτι ἐν τῇ ὥρᾳ τῆς ἱερᾶς θυσίας ἐπὶ τῇ τοῦ Ἱερέως φωνῇ, οἱ οὐρανοὶ οὐκ ἀνοίγονται; Ἐν ἐκείνῳ τῷ Μυστηρίῳ

τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ οἱ τῶν Ἀγγέλων χοροὶ ἐκεῖσε παραγίνονται, καὶ τὰ ὑψηλὰ μετὰ τῶν ταπεινῶν μίγνυνται, καὶ τὰ ἐπουράνια μετὰ τῶν ἐπιγείων συνάπτονται, καὶ ἓν γίγνονται.

Ἑρμηνεία

Ο ΕΠΙΣΚΟΠΟΣ τῆς πόλεως Ναρνίας Κάσιος (1) ἦτο ἄνθρωπος πάρα πολὺ εὐλαβής, συνήθιζε δὲ οὗτος καθημερινῶς νὰ προσφέρῃ εἰς τὸν Θεὸν τὴν ἀναίμακτον θυσίαν μετὰ πολλῶν δακρύων.

2. Μίαν ἡμέραν, εὑρισκόμενος ἐντὸς τοῦ ἁγίου Θυσιαστηρίου καὶ ἱερουργῶν, ἐπληροφορήθη τὴν περὶ αὐτοῦ ἀπόφασιν τοῦ Κυρίου, διὰ τῆς ὀπτασίας ἑνὸς προκεκοιμημένου Κληρικοῦ του, ὁ ὁποῖος τοῦ εἶπε: «Νὰ ἐργάζεσαι πνευματικῶς, ὅπως ἐργάζεσαι· καὶ νὰ μὴ παύσῃ τὴν ἐργασίαν αὐτὴν τὸ πόδι σου ἢ τὸ χέρι σου, διότι κατὰ τὴν ἑορτὴν τῶν Ἁγίων Ἀποστόλων θὰ ἔλθῃς πλησίον μου καὶ θὰ σοῦ ἀποδώσω τὸν μισθόν σου». Πράγματι μετὰ ἀπὸ ἑπτὰ ἔτη, ἀκριβῶς τὴν ἡμέραν τῶν Ἁγίων Ἀποστόλων, ἀφοῦ ἐτέλεσε τὸ μυστήριον τῆς Θείας Εὐχαριστίας κατὰ τὴν ἑορτὴν καὶ μετέλαβε τῶν Ἀχράντων Μυστηρίων, ἠλευθερώθη τῶν δεσμῶν τοῦ σώματος καὶ ἀπῆλθε πρὸς Κύριον.

3. Εἶναι φανερὸν λοιπόν, Πέτρε, ὅτι ἐὰν ἡ ἀναίμακτος θυσία, προσφερομένη ὑπὲρ τῶν τεθνεώτων, τόσον πολὺ τοὺς εὐεργετεῖ, ὅπως καὶ ἄλλοτε εἴπομεν, πόσον περισσότερον θὰ ἔχῃ τὴν δύναμιν νὰ ὠφελήσῃ τοὺς ζῶντας; Αὐτὴ εἶναι ἡ καλλιτέρα ὁδὸς ἀπὸ ὅλας τὰς ἄλλας, νὰ κάμῃ δηλαδὴ κανεὶς ὁ ἴδιος, ὑπὲρ τῆς σωτηρίας του τὸ ἀγαθόν, (προφανῶς ἐννοεῖ τὴν ἱερὰν Λειτουργίαν καὶ τὰς ὑπὲρ τῶν κεκοιμημένων προσφορὰς) ποὺ ἐλπίζει, ὅτι θὰ τὸν ὠφελήσῃ μετὰ θάνατον. Εἰς τὴν ψυχὴν ἐξασφαλίζει μεγαλυτέραν εὐτυχίαν τὸ νὰ ἐξέλθῃ κανεὶς ἐλεύθερος ἀπὸ τὰ δεσμὰ τοῦ κόσμου αὐτοῦ, παρά, μετὰ θάνατον, δέσμιος πλέον, νὰ ἀναζητῇ τὴν ἐλευθερίαν του.

4. Ἔχομεν λοιπὸν ὑποχρέωσιν νὰ ἐλεεινολογήσωμεν μὲ ὅλον μας τὸν νοῦν τὸν παρόντα κόσμον, βλέποντες αὐτὸν ἤδη χαμένον δι' ἡμᾶς καὶ νὰ προσφέρωμεν καθ' ἑκάστην τὴν θυσίαν τῆς Σαρκὸς καὶ τοῦ Αἵματος τοῦ Κυρίου. Διότι αὐτὴ μόνον ἡ θυσία ἔχει τὴν δύναμιν νὰ διαφυλάξῃ τὴν ψυχὴν ἀπὸ τὸν αἰώνιον θάνατον.

5. Δι' αὐτοῦ τοῦ Μυστηρίου, τῆς Θείας Εὐχαριστίας, ἐρχόμεθα καὶ εἰς ἀνάμνησιν τοῦ θανάτου τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ὅστις ἀναστὰς ἐκ τῶν νεκρῶν, οὐδέποτε πλέον ἀποθνήσκει καὶ ὁ θάνατος οὐδέποτε Τὸν νικᾷ· «θάνατος Αὐτοῦ οὐκέτι κυριεύει» (Ρωμ. ς' 9). Διαμένων δὲ ἀθάνατος καὶ ἄφθαρτος, πάλιν δι' ἡμᾶς θύεται, διὰ τοῦ μυ-

1) Οὗτος τιμᾶται ὑπὸ τῆς Ρωμαϊκῆς Ἐκκλησίας ὡς Ἅγιος ἑορταζόμενος τῇ 29ῃ Ἰουνίου. Ἀνῆλθεν εἰς τὸν Ἐπισκοπικὸν θρόνον τῆς Ναρνίας, πόλεως τῆς κεντρικῆς Ἰταλίας, κειμένης Β.Α. τῆς Ρώμης, τὸ 537, ἐπαινεῖται δὲ ὑπὸ τοῦ Ἁγίου Γρηγορίου τοῦ Διαλόγου διὰ τὴν μεγάλην του εὐσέβειαν καὶ τὴν ἀγάπην του πρὸς τοὺς πτωχούς.

στηρίου τῆς ἱερᾶς θυσίας (τῆς Θείας Εὐχαριστίας). Διότι ἡ Σὰρξ τοῦ Κυρίου ἐν τῷ Μυστηρίῳ καὶ διὰ τοῦ Μυστηρίου τῆς Θείας Εὐχαριστίας μερίζεται χάριν τῆς σωτηρίας τοῦ λαοῦ, ὁμοίως καὶ τὸ Αἷμα Του· δὲν ἐκχέεται λοιπὸν τοῦτο εἰς χεῖρας τῶν ἀπίστων, ἀλλ' εἰς τὰ στόματα τῶν πιστῶν.

6. Ἀπὸ αὐτὸ θὰ καταλάβωμεν τὸ μέγεθος καὶ τὴν ἀξίαν τῆς ἱερᾶς αὐτῆς θυσίας· ὅτι δηλαδὴ χάριν τῆς ἀπολυτρώσεώς μας εἶναι διαρκὴς ὑποτύπωσις τοῦ πάθους τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Ποῖος δὲ ἐκ τῶν πιστῶν δύναται νὰ ἀμφιβάλῃ, ὅτι κατὰ τὴν ὥραν τῆς ἱερᾶς θυσίας, ἐπὶ τῇ φωνῇ τοῦ λειτουργοῦντος Ἱερέως, δὲν ἀνοίγονται οἱ οὐρανοί; Κατ' ἐκεῖνο τὸ Μυστήριον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς Θείας Εὐχαριστίας, καταφθάνουν ἀπὸ ἐκεῖ, ἐκ τῶν οὐρανῶν, οἱ χοροὶ τῶν Ἀγγέλων καὶ τὰ ὑψηλὰ ἀναμιγνύονται μὲ τὰ ταπεινά· τὰ ἐπουράνια συνενοῦνται μὲ τὰ ἐπίγεια καὶ γίνονται ἕνα.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου.

ΗΔΗ τῆς Λαύρας τοῦ Μεγάλου Εὐθυμίου εὐθηνεῖν ἀρχομένης, καὶ τοῦ τῶν ἀδελφῶν ἀριθμοῦ εἰς πεντήκοντα περιστάντος, ἑκάστῳ τε αὐτῶν κελλίον ᾠκοδομήθη, καὶ τὰ τῆς ἱερᾶς καθ' ἑκάστην ἐτελεῖτο μυσταγωγίας· ἤδη γὰρ καὶ παρὰ τῇ Λαύρᾳ δύο ἦσαν Πρεσβύτεροι, Ἰωάννης τε καὶ Κυρίων καλούμενοι.

2. Ποτὲ δὲ Μιᾶς τῶν Σαββάτων, τοῦ Μεγάλου Εὐθυμίου λειτουργοῦντος τῷ Θεῷ, καὶ τὴν ἀναίμακτον Αὐτῷ θυσίαν προσάγοντος, Δομετιανοῦ δὲ πρὸς τὰ δεξιὰ μετὰ τῆς μυστικῆς ἐκείνης ῥιπίδος παρισταμένου, τελεῖσθαι ἤδη ἔμελλεν ἡ τοῦ Τρισαγίου Δοξολογία.

3. Τερέβων δὲ ὁ Σαρακηνός, καὶ ὁ Χρυσίππου ἀδελφὸς Γαβριήλιος, ὁ μὲν πλησίον, ὁ δὲ τοῦ Θυσιαστηρίου ἔνδον ἑστώς, ὢ τῆς πολλῆς σου περὶ τὸν Εὐθύμιον, Χριστέ, Χάριτος! ὁρῶσι πῦρ ἐκ τοῦ αἰφνιδίου, καθάπερ ἐπί τινος διακεχυμένης ὀθόνης, ἐκ τῶν ἄνωθεν κατιόν, καὶ αὐτόν τε τὸν Μέγαν Εὐθύμιον, σὺν αὐτῷ δὲ καὶ Δομετιανόν, ἔνδον περιλαβόν, οὕτω περὶ αὐτοὺς διαμεῖναν, ἀπ' ἀρχῆς τοῦ Τρισαγίου, ἄχρι καὶ συμπληρώσεως τῆς ἱερᾶς Λειτουργίας.

4. Δέει δὲ ληφθέντα, φησί, τὸν Τερέβωνα, περιδεῆ καὶ κατάφοβον ὑποχωρῆσαι τοῦ Θυσιαστηρίου, καὶ τοῦ λοιποῦ μηκέτι ἀναίδην, ὡς εἶχε, καὶ θρασέως, τῆς τῶν ἀδύτων εἰσόδου κατατολμῆσαι, ἀλλ' ἐν τοῖς τοῦ Ναοῦ προπυλαίοις μετὰ πολλῆς κατὰ τὴν σύναξιν ἑστάναι τῆς εὐλαβείας, ὡς ὁ Ἀναχωρητὴς ἐμοὶ Κυριακὸς ὕστερον διηγήσατο, παρὰ Τερέβωνος αὐτὰ καὶ Γαβριηλίου τῶν ἀδελφῶν ἑωρακότων ἀκηκοώς.

Ἑρμηνεία

ΗΔΗ ἡ Λαύρα τοῦ Μεγάλου Εὐθυμίου ἤρχισε πλέον νὰ ἀκμάζῃ καὶ ὁ ἀριθμὸς τῶν ἀδελφῶν ἔφθασε τοὺς πεντήκοντα. Δι' ἕκαστον ἐξ αὐτῶν ἐκτίσθη κελλίον ἐντὸς τῆς Λαύρας (1), ἐτελεῖτο δὲ

---

1) Λαύρα κυρίως εἶναι Μοναστικὸς συνοικισμός, περιβαλλόμενος συνήθως διὰ μεγάλης μάνδρας.

καθ' ἑκάστην ἡ Θεία Μυσταγωγία· πλησίον τῆς Λαύρας παρέμενον μονίμως δύο Πρεσβύτεροι, Ἰωάννης καὶ Κυρίων ὀνομαζόμενοι.

2. Κάποτε, μίαν Κυριακήν, ὁ Μέγας Εὐθύμιος ἐτέλει τὴν Θείαν Λειτουργίαν καὶ προσέφερεν εἰς τὸν Θεὸν τὴν ἀναίμακτον θυσίαν. Δεξιὰ τοῦ Μεγάλου Εὐθυμίου παρίστατο ὁ Δομετιανός, κρατῶν τὴν μυστικὴν ριπίδα (εἶδος βεντάλιας)· ἐπρόκειτο ἐντὸς ὀλίγου νὰ ψαλῇ ἡ Τρισάγιος Δοξολογία.

3. Ἐντὸς τοῦ ἱεροῦ Βήματος, κατὰ τὴν φοβερὰν ἐκείνην στιγμήν, παρευρίσκοντο καὶ ὁ Τερέβων ὁ Σαρακηνὸς καὶ ὁ ἀδελφὸς τοῦ Χρυσίππου Γαβριήλιος· ὁ πρῶτος πλησίον τῆς Ἁγίας Τραπέζης καὶ ὁ δεύτερος εἰς τὸ βάθος τοῦ ἱεροῦ Βήματος.

Τὴν στιγμὴν ἐκείνην, ὢ τῆς πολλῆς Σου περὶ τὸν Εὐθύμιον, Χριστέ, Χάριτος! συνέβη ἕνα καταπληκτικὸν θαῦμα. Ἅπαντες οἱ παριστάμενοι βλέπουν ἔξαφνα μίαν φλόγα, ὡς ἕνα ἁπλωμένον σεντόνι, νὰ κατεβαίνῃ ἀπὸ ψηλὰ καὶ νὰ περιβάλῃ τὸν Μέγαν Εὐθύμιον μαζὶ μὲ τὸν Δομετιανόν! Οἱ δύο λειτουργοί, ὁ Μέγας Εὐθύμιος μετὰ τοῦ Δομετιανοῦ, παρέμειναν εἰς αὐτὴν τὴν κατάστασιν ἀπὸ τὴν ἀρχὴν τῆς Τρισαγίου Δοξολογίας μέχρι συμπληρώσεως τῆς ἱερᾶς Λειτουργίας.

4. Τὸ θαῦμα αὐτὸ συνεκλόνισε τὸν Τερέβωνα, ὅστις κατελήφθη ὑπὸ τοιούτου δέους, ὥστε τρέμων καὶ καταφοβισμένος ἐξῆλθε τοῦ ἱεροῦ Βήματος, καὶ οὐδέποτε πλέον ἐτόλμησε, μὲ ἀναίδειαν καὶ θράσος, ὡς καὶ πρότερον, νὰ εἰσέλθῃ εἰς τὸ ἄδυτον, ἀλλ' ἵστατο, μὲ πολλὴν εὐλάβειαν, ὁσάκις ἐτελεῖτο ἡ Θεία Λειτουργία, εἰς τὰ προπύλαια τοῦ Ναοῦ. Αὐτὰ τὰ διηγήθη εἰς ἐμὲ (τὸν συγγραφέα τοῦ Βίου), μετὰ ἀπὸ καιρόν, ὁ Κυριακὸς ὁ Ἀναχωρητής, ὅστις τὰ ἤκουσεν ἀπὸ τοὺς αὐτόπτας μάρτυρας, τὸν Τερέβωνα καὶ τὸν Γαβριήλιον.


Γ'. Ἐν τῷ Γεροντικῷ.

ΕΛΕΓΟΝ ΤΙΝΕΣ τῶν Πατέρων περὶ τοῦ Ἀββᾶ Μαρκελλίνου τοῦ τῆς Θηβαΐδος, ὅτι ἀεὶ ὅτε ἔμελλεν ἐξελθεῖν τῇ Κυριακῇ εἰς τὴν σύναξιν ηὐτρέπιζεν ἑαυτόν, καὶ ἐν τῷ ἀπιέναι, μέρος τι τῶν Γραφῶν ἀπεστήθιζεν, ἕως ἔλθῃ εἰς τὴν Ἐκκλησίαν· οὕτω δὲ αὐτοῦ μελετῶντος, τὰ χείλη αὐτοῦ οὐκ ἐκινεῖτο, ἵνα μή τις αὐτοῦ ἀκούσῃ· καὶ ὅτε ἔστη εἰς τὴν σύναξιν, τὸ στῆθος ἐβρέχετο ἀπὸ τῶν δακρύων.

2. Ἔλεγε δέ, ὅτι τῆς συνάξεως ἐπιτελουμένης, θεωρῶ ὅλην τὴν Ἐκκλησίαν ὡς πῦρ, τῆς δὲ Ἐκκλησίας ἀπολυούσης, εὐθέως καὶ τὸ πῦρ ἀναχωροῦν.

3. Γέρων τις διηγεῖτο περί τινος Ἐπισκόπου, ὅτι παρεγένετο ἐν χωρίῳ τινὶ ἐν Κυριακῇ, καὶ λέγει τοῖς Διακόνοις αὐτοῦ· ζητήσατε τὸν Πρεσβύτερον τοῦ χωρίου, ἵνα ποιήσῃ ἡμῖν τὴν ἁγίαν τῶν θείων Μυστηρίων ἀναφοράν. Καὶ ζητήσαντες εὗρον τὸν Πρεσβύτερον χωρικὸν πλήρη, καὶ ἄπλαστον, καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἐπίσκοπον, καὶ προὐτρέψατο αὐτὸν ὁ Ἐπίσκοπος προσκομίσαι.

4. Τούτου δὲ εἰσελθόντος εἰς τὸ ἅγιον Θυσιαστήριον, θεωρεῖ ὁ Ἐπίσκοπος τὸν Πρεσβύτερον, ἅμα τῷ παραστῆναι τῇ θείᾳ τραπέζῃ, ὅλον ἐν τῷ πυρὶ ὄντα καὶ μὴ φλεγόμενον.


Ο ΟCΙΟC ΑΒΒΑC ΜΑΡΚΕΛΛΙΝΟC
ΘΕΩΡΩ ΟΛΗΝ ΤΗΝ ΕΚΚΛΗCΙΑΝ ΩC ΠΥΡ
Ράλλης Κοψίδης

5. Τῆς οὖν ἀναφορᾶς πληρωθείσης, εἰσκαλεῖ ὁ Ἐπίσκοπος τὸν Πρεσβύτερον εἰς τὸ διακονικόν, καί φησι πρὸς αὐτόν· εὐλόγησόν με, ἄξιε τοῦ Θεοῦ δοῦλε. Καὶ ὁ Πρεσβύτερος πρὸς αὐτόν· καὶ πῶς ἂν δυνατὸν εἴη Ἐπίσκοπον ὑπὸ Πρεσβυτέρου εὐλογηθῆναι τοῦ ὑπ' αὐτοῦ χειροτονουμένου; ἀλλὰ σύ με εὐλόγησον, Πάτερ. Ὁ δὲ Ἐπίσκοπος· οὐ δύναμαί, φησι, τὸν ἐν πυρὶ ἱστάμενον καὶ προσκομίζοντα τὰ Ἅγια Δῶρα τῷ Θεῷ εὐλογῆσαι· παντὶ τρόπῳ τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

6. Καὶ ὁ Πρεσβύτερος ἔφη· καὶ ἔστιν ὅλως, τίμιε Δέσποτα, τὶς Ἐπίσκοπος ἢ Πρεσβύτερος τοῖς ἁγίοις παριστάμενος Μυστηρίοις, καὶ μὴ ἱστάμενος εἰς τὸ θεῖον πῦρ;

7. Καὶ τοῦτο ἀκούσας ὁ Ἐπίσκοπος, ἐθαύμασε σφόδρα τὸ καθαρὸν τοῦ ἀνδρὸς καὶ ἁπλοῦν τῷ τρόπῳ, καὶ ὠφεληθείς, ἀνεχώρησεν.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ ἐκ τῶν Πατέρων διηγοῦντο τὰ ἑξῆς περὶ τοῦ Ἀββᾶ Μαρκελλίνου τῆς Θηβαΐδος: Πάντοτε, ὅτε ἐπρόκειτο τὴν Κυριακὴν νὰ ἐξέλθῃ τοῦ κελλίου του, διὰ νὰ μεταβῇ εἰς τὴν σύναξιν τῆς Θείας Λειτουργίας ἐν τῷ Ναῷ, προητοιμάζετο ψυχικῶς, καὶ πορευόμενος πρὸς τὴν Ἐκκλησίαν, καθ' ὁδόν, ἔλεγεν ἀπὸ στήθους τμῆμα τῆς Ἁγίας Γραφῆς, μέχρι νὰ εἰσέλθῃ εἰς τὸν Ναόν. Τὸ τμῆμα αὐτὸ τῆς Ἁγίας Γραφῆς τὸ ἐμελέτα νοερῶς καὶ οὐδόλως ἐκίνει τὰ χείλη του, διὰ νὰ μὴ τὸν ἀκούσῃ κανείς. Ὅταν δὲ προσήρχετο εἰς τὴν σύναξιν, ἔβρεχε τὸ στῆθος του ἀπὸ δάκρυα κατανύξεως.

2. Ὁ Ἀββᾶς αὐτὸς ἔλεγε: «διαρκούσης τῆς ἀκολουθίας τῆς Θείας Λειτουργίας βλέπω ὁλόκληρον τὸν Ναὸν ὡς φλογιζόμενον· ὅταν ὅμως τελειώνῃ ἡ ἀκολουθία καὶ γίνεται ἀπόλυσις, τότε ἀμέσως καὶ τὸ θαυμαστὸν πῦρ, ποὺ ἐφλόγιζε τὸν Ναόν, ἐξαφανίζεται».

3. Ἕνας Γέρων διηγήθη τὴν ἑξῆς ἱστορίαν: Κάποτε ἕνας Ἐπίσκοπος ἦλθεν εἰς ἕνα χωρίον τὴν Κυριακὴν καὶ λέγει εἰς τοὺς Διακόνους του: Ἀναζητήσατε τὸν Ἐφημέριον τοῦ χωρίου, διὰ νὰ μᾶς κάμῃ τὴν ἀναφορὰν τῶν Ἁγίων Μυστηρίων (τὴν θείαν Λειτουργίαν). Πράγματι οἱ Διάκονοι ἀνεζήτησαν καὶ εὗρον τὸν Ἐφημέριον· οὗτος ἐφαίνετο ὡς ἁπλοῦς καὶ ἀμόρφωτος χωρικός. Τὸν ὡδήγησαν λοιπὸν ἐνώπιον τοῦ Ἐπισκόπου καὶ ὁ Ἐπίσκοπος τὸν προέτρεψε νὰ τελέσῃ τὴν θείαν Ἱερουργίαν.

4. Ἀφοῦ λοιπὸν ὁ ἁπλοῦς ἐκεῖνος Πρεσβύτερος εἰσῆλθεν εἰς τὸ Ἅγιον Θυσιαστήριον, βλέπει αὐτὸν ὁ Ἐπίσκοπος, ἀπὸ τὴν στιγμὴν ποὺ ἐστάθη πρὸ τῆς Ἁγίας Τραπέζης, νὰ περιβάλλεται ὁλόκληρος ἀπὸ πῦρ καὶ νὰ μὴ καταφλέγεται.

5. Ὅταν ἐτελείωσεν ἡ Θεία Λειτουργία, ὁ Ἐπίσκοπος καλεῖ πλησίον του τὸν Πρεσβύτερον εἰς τὸ διακονικὸν καὶ τοῦ λέγει:

—Εὐλόγησέ με, ἄξιε δοῦλε τοῦ Θεοῦ!

Ἔκπληκτος ὁ Πρεσβύτερος τοῦ ἀπαντᾶ:

—Πῶς εἶναι δυνατὸν ὁ Ἐπίσκοπος, ποὺ χειροτονεῖ τὸν Πρεσβύτερον, νὰ εὐλογηθῇ ἀπὸ τὸν Πρεσβύτερον;

—Δὲν ἔχω τὴν δύναμιν—ἀπήντησε καὶ πάλιν ὁ Ἐπίσκοπος—νὰ εὐλογήσω Ἱερέα ποὺ προσεκόμισεν εἰς τὸν Θεὸν τὰ Τίμια Δῶρα φλεγόμενος ἀπὸ ὑπερφυσικὸν πῦρ καὶ μὴ καταφλεγόμενος. Ὁπωσδήποτε τὸ ἔλαττον εἰς ἀξίαν εὐλογεῖται ὑπὸ τοῦ κρείττονος.

6. Μὲ ἄκραν ταπεινοφροσύνην ὁ Πρεσβύτερος ἀπήντησεν:

—Εἶναι ποτὲ δυνατόν, τίμιε Δέσποτα, Ἐπίσκοπος ἢ Πρεσβύτερος, νὰ τελῇ τὰ φρικτὰ καὶ ζωοποιὰ Μυστήρια καὶ νὰ μὴ περιβάλλεται ἀπὸ θεῖον πῦρ;

7. Ὁ Ἐπίσκοπος, μόλις ἤκουσεν αὐτὸ ἀπὸ τὸν ἁπλοῦν Πρεσβύτερον, ἐθαύμασε πάρα πολὺ τὴν ψυχικὴν καθαρότητα τοῦ ἀνδρὸς καὶ τὸ ἀπροσποίητον τῶν τρόπων του. Ἀνεχώρησε δὲ ὠφεληθεὶς τὰ μέγιστα.





·ὙΠΌΘΕΣΙΣ Λ΄·

Ὅτι οὐ μόνον τοῖς ζῶσιν, ἀλλὰ καὶ τοῖς θανοῦσιν ἡ ὑπὲρ αὐτῶν προσφορὰ μεγάλα συμβάλλεται.

Ὄχι μόνον εἰς τοὺς ζῶντας, ἀλλὰ καὶ εἰς τοὺς ἀποθανόντας μεγάλην βοήθειαν παρέχει ἡ ὑπὲρ αὐτῶν τελουμένη προσφορά.

Α΄. Γρηγορίου τοῦ Διαλόγου.





Ἐρωταποκρίσεις

Πέτρος

I ΔΥΝΑΤΑΙ τὰς τῶν τελευτώντων ψυχὰς μετὰ θάνατον ὠφελῆσαι;

Γρηγόριος

2. Ἐὰν τὰ πταίσματα μετὰ θάνατον ἀσυγχώρητα οὐκ εἰσι, πολὺ δύναται ταῖς ψυχαῖς ἡ ἱερὰ προσφορὰ τῆς σωτηριώδους θυσίας βοηθῆσαι· ὅθεν τοῦτο πολλάκις καὶ αὐταὶ αἱ τῶν τεθνεώτων ψυχαὶ ὤφθησαν ἐπιζητοῦσαι, ὡς καὶ περὶ τῶν ζώντων ἀκοῇ τοῦτο παρείληφα.

3. Περί τινος ἐν αἰχμαλωσίᾳ ὑπάρχοντος καὶ ἁλύσεσι δεδεμένου, ἤκουσα ὅτι ἡ τούτου σύμβιος, ἐν ἡμέραις ὡρισμέναις, θυσίαν ὑπὲρ αὐτοῦ προσφέρειν εἰώθει, ὃς μετὰ χρόνους ἐκ τῆς αἰχμαλωσίας πρὸς τὴν ἑαυτοῦ σύμβιον, ἐν ποίαις ἡμέραις αἱ ἁλύσεις αὐτοῦ ἀοράτως ἐλύοντο, ἐδηλοποίησεν· αὐτὰς δὲ εἶναι τὰς ἡμέρας εἴρηκεν, ἐν αἷς ὑπὲρ αὐτοῦ τὴν προσφορὰν προσέφερε.

4. Καὶ ναύτης δέ τις, ὃς ἔτι περίεστι, διηγεῖται τὸ εἰς αὐτὸν γεγονὸς θαῦμα. Σὺν Ἀγάθωνι τῷ Ἐπισκόπῳ πόλεως Πανόρμου πλέων εἰς Ῥώμην, ὄπισθεν τοῦ πλοίου ἐν τῷ καράβῳ ὤν, τοῦ σχοινίου κοπέντος, ἐν ᾧ πρὸς τὸ πλοῖον ὁ κάραβος ἐδέδετο, ἅμα αὐτῷ ὑψωθεὶς ἐν τοῖς κύμασιν, ἀφανὴς ἐγένετο.

5. Ὁ οὖν Ἐπίσκοπος σὺν τῷ πλοίῳ εἰς τὴν νῆσον Οὔστιβαν ἐκπεσών, ὡς ἤδη τρεῖς ἡμέραι παρῆλθον καὶ οὐδαμοῦ ὁ κάραβος σὺν τῷ ναύτῃ ἐφαίνετο, ὑπολαβὼν τοῦτον πνιγῆναι τοῖς ὕδασιν, ὅπερ τοῖς νεκροῖς ὀφείλεται, ἐκέλευσεν ὑπὲρ αὐτοῦ ἱερὰν Θυσίαν προσενεχθῆναι.

6. Μετὰ δὲ ταῦτα τὴν Ἰταλίαν κατέλαβεν, ἐν δὲ τῇ πόλει τοῦ Πόρτου τὸν ναύτην ζῶντα κατέλαβεν. Εὐφρανθεὶς οὖν ὁ Ἐπίσκοπος ἐπὶ τούτῳ, ἠρώτα αὐτὸν πῶς τὸν χαλεπὸν ἐκεῖνον διέφυγε κίνδυνον;

7. Ὁ δὲ διηγεῖτο, πόσον μὲν διήρκεσε τοῖς ἀγρίοις ἐκείνοις ἀπομαχόμενος κύμασιν ἐν τῷ καράβῳ, πληρωθέντος ἤδη τοῦ ὕδατος, καὶ πολλάκις ἀνατραπέντος, ὥστε τὴν τρόπιν ἄνω γενέσθαι. Εἶτα τῆς δυνάμεως αὐτοῦ ἀπό τε τοῦ κόπου καὶ τῆς πείνης ἀναλωθείσης, ἐβαρύνθη τὸν νοῦν λιποθυμήσας, καὶ μήτε παντελῶς εἰς ὕπνον κατενεχθεὶς μήτε τελείως γρηγορῆσαι δυνάμενος.

8. Οὕτως οὖν αὐτῷ ἔχοντι, ὤφθη τις ἐν τῷ πελάγει, ἄρτον κατέχων, καὶ τούτῳ διδούς· ὁ δὲ φαγὼν καὶ ἐμπλησθείς, δύναμιν ἀνελάβετο, οὐ μετὰ πολὺ δὲ

διερχόμενον πλοῖον, ἐκ τοῦ κινδύνου τοῦτον ἀνείλετο καὶ εἰς τὴν χέρσον διέσωσεν.

9. Ὁ οὖν Ἐπίσκοπος, ζητήσας τὴν ἡμέραν, ἐν ᾗ ὁ φανεὶς αὐτῷ τὸν ἄρτον ἐν τῇ θαλάσσῃ παρέσχεν, εὗρεν ὅτι ἐκείνη ὑπῆρχε, καθ' ἣν εἰς Οὔστιβαν τὴν νῆσον ἡ ἱερὰ ὑπὲρ αὐτοῦ προσηνέχθη Θυσία.

Πέτρος

10. Ταῦτα ἅπερ λέγεις ἐγὼ αὐτὸς ἐν Σικελίᾳ ἀπελθὼν γεγονέναι ἀκήκοα.

Γρηγόριος

11. Πιστεύω, Πέτρε, ὅτι τούτου χάριν οὕτω φανερῶς καὶ ἐν τοῖς ζῶσιν οὕτω γίνεται, καίτοι μηδὲ γινωσκόντων αὐτῶν, ἵνα πᾶσι δειχθῇ, ὅτι τοὺς νεκροὺς μεγάλα ὠφελεῖν δύναται ἡ ὑπὲρ αὐτῶν προσφερομένη θυσία, ἐὰν ἀσυγχώρητα πταίσματα οὐκ εἰσὶ πταίσαντες. Καὶ τὸ κατὰ τὸν Ἰοῦστον δὲ διήγημα, ὃ ἐν ἑτέρῳ ἐγράφη, δείκνυσι τὴν εἰς τοὺς θανόντας ὠφέλειαν προσγινομένην ἐκ τῆς ἱερᾶς προσφορᾶς.

12. Ὃς ἐν τῷ Μοναστηρίῳ ὤν, ἐν ᾧ ἔτι καὶ ἐγὼ ἤμην, πρὸ τοῦ γενέσθαι Ἀρχιερεύς, καὶ τρία νομίσματα λάθρα κτησάμενος παρὰ τὸν τοῦ Μοναστηρίου κανόνα, καὶ ἐν τῇ τελευτῇ φωραθείς, οὐδὲ τῆς νενομισμένης ταφῆς ἔτυχε, καίπερ ἐν τῇ ἐξόδῳ μετανοήσας, ἀλλὰ ἐν τῇ κοπρίᾳ τὸ τούτου σῶμα κακῶς ἐῤῥίφη, συνεπιῤῥιφέντων αὐτῷ καὶ τῶν τριῶν νομισμάτων καὶ εἰς ἀπώλειαν σὺν τούτῳ κατακριθέντων, τῇ ἐπιφωνήσει τῆς ἀδελφότητος, ἣν ὁμοφώνως πάντες τῇ ἡμετέρᾳ προστάξει αὐτῷ ἐπεφώνησαν.

13. Εἶτα μετὰ τριάκοντα ἡμέρας, οἶκτον ἐμοῦ αὐτῷ λαβόντος, καὶ μέχρι τριάκοντα ἡμερῶν ἑτέρων καθ' ἑκάστην προσφέρεσθαι ὑπὲρ αὐτοῦ θυσίαν προστάξαντος, ἵνα τῆς βασάνου λυτρωθῇ, ἐν τῇ τριακοστῇ ὤφθη κατ' ὄναρ τῷ κατὰ σάρκα αὐτοῦ ἀδελφῷ Κοπιώσῳ ὁ τελευτήσας, ὑφ' οὗ καὶ ἐρωτηθεὶς ἐν ποίοις ἐκεῖσε ὑπάρχει, ἀπεκρίθη λέγων· ἕως μὲν τοῦ νῦν, πάνυ κακῶς ὑπῆρχον, ἀρτίως δὲ καλῶς εἰμι.

14. Ὃ καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ Μονῇ ἐλθών, ὁ Κοπιῶσος, διηγήσατο, καὶ ἀριθμήσαντες ἀκριβῶς τὰς ἡμέρας εὕρομεν, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ὑπῆρχεν, ἐν ᾗ ἦν τελεσθεῖσα ἡ ὑπὲρ αὐτοῦ γενομένη τριακοστὴ προσφορά. Φανερῶς οὖν δείκνυται ἐκ τούτου, ὅτι διὰ τῆς σωτηριώδους Θυσίας, ὁ τεθνηκὼς ἀδελφὸς τῆς βασάνου ἐλυτρώθη.

Πέτρος

15. Θαυμαστά εἰσι σφόδρα ἅπερ ἀκούω καὶ οὐ μετρίως εὐφραίνοντα.

Γρηγόριος

16. Οἱ λόγοι τῶν τελευτησάντων στηρίζουσι τῶν ζώντων τὰ ἔργα, ἵνα μὴ εἰς δειλίαν παραπέσωμεν.

Ἑρμηνεία

Α΄ Ἐρωταποκρίσεις

Πέτρος

ΤΙ ΗΜΠΟΡΕΙ νὰ ὠφελήσῃ, μετὰ θάνατον, τὰς ψυχὰς τῶν ἀποθνῃσκόντων;

Γρηγόριος

2. Ἐὰν αἱ ἁμαρτίαι τῶν ἀποθανόντων δὲν εἶναι ἀπὸ ἐκείνας,

ποὺ δὲν εἶναι δυνατὸν νὰ συγχωρηθοῦν, ἄνευ μετανοίας, μετὰ θάνατον, δύναται νὰ βοηθήσῃ πάρα πολὺ τὰς ψυχὰς αὐτῶν ἡ ἱερὰ προσφορὰ τῆς ἀπολυτρωτικῆς θυσίας, δηλαδὴ τῆς θείας Λειτουργίας. Δι' αὐτὸ καὶ πολλὰς φορὰς αἱ ἴδιαι αἱ ψυχαὶ τῶν ἀποθανόντων ἐφάνησαν νὰ ἐπιζητοῦν τοῦτο. Ἀλλὰ καὶ ζῶντες καὶ μακρὰν εὑρισκόμενοι ὠφελοῦνται ἐκ τῆς ὑπὲρ αὐτῶν θείας Λειτουργίας. Τοιοῦτα περιστατικὰ ἤκουσα μὲ τὰ αὐτιά μου.

3. Εἰς ἕνα μέρος εὑρίσκετο ἕνας αἰχμάλωτος, ποὺ εἶχε δεθῆ μὲ βαρείας ἁλύσεις. Ἡ σύζυγός του συνήθιζεν εἰς ὡρισμένας ἡμέρας νὰ τελῇ, χάριν αὐτοῦ, ἱερὰν Λειτουργίαν. Ὅταν, μετὰ ἀπὸ ἔτη, ἐπέστρεψεν εἰς τὴν πατρίδα του ὁ αἰχμάλωτος, ἀνέφερεν εἰς τὴν σύζυγόν του, ὅτι εἰς ὡρισμένας ἡμέρας ἐλύοντο ἀοράτως καὶ περιέργως αἱ ἁλυσίδες. Κατάπληκτος δὲ ἡ σύζυγος διεπίστωσεν, ὅτι αἱ ἡμέραι τῆς ἀνέσεως τοῦ συζύγου της ἀντεστοίχουν πρὸς τὰς ἡμέρας ποὺ ἐτέλει αὕτη ὑπὲρ αὐτοῦ λειτουργίας.

4. Ἕνας δὲ πάλιν ναύτης, ποὺ μέχρι σήμερον ζῇ (ἐννοεῖται μέχρι τῆς ἐποχῆς, ποὺ ἀνέφερε τοῦτο ὁ Ἅγιος Γρηγόριος) μοῦ διηγήθη τὸ ἐπισυμβὰν εἰς αὐτὸν θαῦμα. Οὗτος, μαζὶ μὲ τὸν Ἐπίσκοπον Πανόρμου Ἀγάθωνα, ἔπλεε πρὸς τὴν Ρώμην· ὁ ναύτης εὑρίσκετο, κατὰ τὸ ταξίδιον, ἐπὶ μικρᾶς λέμβου, ποὺ ἐσύρετο, μὲ σχοινίον, ἀπὸ τὸ πλοῖον. Εἰς μίαν στιγμήν, λόγῳ θαλασσοταραχῆς, ἀπεκόπη τὸ σχοινίον καὶ ἡ λέμβος ἀνηρπάγη ἀπὸ τὰ κύματα καὶ ἐξηφανίσθη.

5. Τὸ πλοῖον, ποὺ ἔφερε τὸν Ἐπίσκοπον, ἐξέπεσεν ὑπὸ τῆς θαλάσσης εἰς τὴν νῆσον Οὔστιβαν· ἐκεῖ ὁ Ἐπίσκοπος ἀνέμενεν ἐπὶ τρεῖς ἡμέρας, μήπως ἐμφανισθῇ ἡ λέμβος μὲ τὸν ναύτην. Πλὴν ματαίως. Ἔβγαλε λοιπὸν τὸ συμπέρασμα ὁ Ἐπίσκοπος, ὅτι ὁ ναύτης ἐπνίγη· δι' αὐτὸ καὶ διέταξε νὰ προσφερθῇ ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς του ἡ ἱερὰ Θυσία (Θεία Λειτουργία).

6. Μετὰ ταῦτα ὁ Ἐπίσκοπος ἐπῆγεν εἰς τὴν Ἰταλίαν· ἐκεῖ δέ, εἰς τὴν πόλιν τοῦ Πόρτου, συνήντησε τὸν ναύτην ζῶντα! Ἠσθάνθη τότε μεγίστην εὐχαρίστησιν διὰ τὴν διάσωσιν τοῦ ναύτου, καὶ τὸν ἠρώτα μὲ φιλόστοργον περιέργειαν, πῶς διέφυγε τὸν φοβερὸν ἐκεῖνον κίνδυνον τοῦ ναυαγίου.

7. Ὁ ναύτης τότε διηγήθη λεπτομερῶς τὴν περιπέτειάν του: «Ἐπὶ πολὺ—ἔλεγε—ἐμαχόμην μὲ τὰ ἄγρια ἐκεῖνα κύματα, εὑρισκόμενος ἐπὶ τῆς λέμβου· καὶ αὐτὴ ὅμως δὲν ἤργησε νὰ γεμίσῃ νερὰ καὶ νὰ ἀνατραπῇ πολλὰς φοράς, ὥστε ἡ καρίνα νὰ ἔλθῃ ἐπάνω. Ὁ σκληρὸς αὐτὸς ἀγὼν νὰ συγκρατηθῶ ἐπὶ τῆς παρασυρομένης ὑπὸ τῶν κυμάτων λέμβου μὲ κατεξήντλησε· τὰς δυνάμεις μου κατέβαλεν ἀκόμη περισσότερον καὶ ἡ πεῖνα. Εἰς μίαν στιγμὴν ἐλιποθύμησα καὶ παρέμεινα εἰς μίαν κατάστασιν μεταξὺ ὕπνου καὶ ἐγρηγόρσεως, δηλαδὴ οὔτε ξυπνητός, οὔτε κοιμισμένος».

8. «Εἰς αὐτὴν τὴν κατάστασιν εὑρισκόμενος—συνέχισε λέγων

ὁ ναύτης—ἐμφανίζεται ἐνώπιόν μου, ἐπὶ τοῦ πελάγους, κάποιος ποὺ ἐκράτει ἄρτον καὶ μοῦ προσέφερεν ἐξ αὐτοῦ. Ἐγὼ τότε, ἀφοῦ ἔφαγα, ἐχόρτασα καὶ ἀνέκτησα τὰς δυνάμεις μου. Ἐντὸς ὀλίγου δὲ διῆλθεν ἀπὸ τοῦ σημείου ἐκείνου ἕνα πλοῖον, τὸ ὁποῖον μὲ ἀνέσυρε καὶ μὲ ἀπεβίβασεν, ἐν συνεχείᾳ, σῶον εἰς μίαν ἀκτήν».

9. Μὲ κατάπληξιν ὁ Ἐπίσκοπος ἤκουσε τὴν ἀφήγησιν καὶ ἐζήτησε νὰ πληροφορηθῇ τὴν ἡμέραν, ποὺ ἐνεφανίσθη εἰς τὸ πέλαγος ὁ ἄγνωστος καὶ τοῦ προσέφερε τὸν ἄρτον. Συγκεκινημένος δὲ διεπίστωσεν, ὅτι τοῦτο συνέβη τὴν ἡμέραν, ποὺ ἐτέλεσεν ὑπὲρ τοῦ ναύτου τὴν λειτουργίαν εἰς τὴν Οὔστιβαν.

Πέτρος

10. Αὐτὰ ποὺ λέγεις τὰ ἤκουσα καὶ ἐγώ, ὅτι ἔγιναν, ὅταν μετέβην εἰς Σικελίαν.

Γρηγόριος

11. Πιστεύω λοιπόν, Πέτρε, ὅτι αὐτὰ τὰ περιστατικὰ συμβαίνουν καὶ εἰς τοὺς ζῶντας, ἂν καὶ οἱ ἴδιοι τίποτε δὲν γνωρίζουν περὶ τῆς προσφερθείσης θυσίας. Ἐξ αὐτῶν ἀποδεικνύεται ἐνώπιον ὅλων, ὅτι καὶ τὰς ψυχὰς τῶν νεκρῶν ἀφαντάστως ὠφελεῖ ἡ ὑπὲρ αὐτῶν προσφερομένη θυσία, ἐφ᾽ ὅσον αὐτοὶ δὲν ἔχουν ὑποπέσει εἰς ἀσυγχώρητα ἁμαρτήματα. Καὶ τὸ διήγημα, ποὺ ἀναφέρεται εἰς τὸν Ἰοῦστον, τὸ ὁποῖον ἔχει γραφῇ ἀλλοῦ, φανερώνει τὴν ὠφέλειαν ποὺ προξενεῖ εἰς τοὺς θανόντας ἡ ἱερὰ προσφορά.

12. Οὗτος λοιπὸν ὁ Ἰοῦστος ἐμόναζεν εἰς τὸ Μοναστήριόν μας, ὅταν ἀκόμη εὑρισκόμουν καὶ ἐγὼ ἐκεῖ, πρὶν νὰ γίνω Ἀρχιερεύς. Κάποτε αὐτὸς ὁ Ἰοῦστος ἀπέκτησε κρυφίως τρία νομίσματα, παρὰ τὸν κανόνα τοῦ Μοναστηρίου. Τὸ τοιοῦτον ἀνεκαλύφθη κατὰ τὴν ὥραν τοῦ θανάτου του· τούτου ἕνεκεν δὲν ἠξιώθη τῆς νεκρωσίμου ἀκολουθίας, ἂν καὶ πρὶν ἀποθάνῃ μετενόησε διὰ τὸ παράπτωμά του αὐτό. Τὸ σῶμα του, χωρὶς οὐδεμίαν εὐχήν, ἐρρίφθη εἰς τὴν κοπρίαν καὶ μαζὶ μὲ αὐτὸ καὶ τὰ τρία λαθραίως ἀποκτηθέντα νομίσματα. Προσέταξα δέ, ὅπως ὅλη ἡ ἀδελφότης καταδικάσῃ τὸν Ἰοῦστον καὶ τὰ νομίσματά του ἐπιφωνοῦσα: «τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν» (Πράξ. η΄ 20). Τοῦτο ὁμοφώνως ἅπαντες οἱ ἀδελφοὶ ἀνεφώνησαν.

13. Μετὰ παρέλευσιν τριάκοντα ἡμερῶν τὸν ἐλυπήθην καὶ προσέταξα νὰ τελῆται ὑπὲρ αὐτοῦ ἡ ἀναίμακτος θυσία καθ᾽ ἑκάστην, συνεχῶς ἐπὶ τριάκοντα ἡμέρας, μήπως λυτρωθῇ ἀπὸ τὰς βασάνους. Κατὰ τὴν τριακοστὴν ἡμέραν ἐνεφανίσθη ὁ ἀποθανὼν εἰς τὸν ὕπνον τοῦ κατὰ σάρκα ἀδελφοῦ τοῦ Κοπιώσου, ὅστις ἠρώτησε τὸν μεταστάντα:

—Πῶς εἶσαι ἐκεῖ, εἰς τὸν ἄλλον κόσμον;

Ὁ μεταστὰς Ἰοῦστος ἀπήντησε:

—Μέχρι σήμερα ὑπέφερα πολύ. Τώρα ὅμως εἶμαι πολὺ καλά.

14. Ὁ ἀδελφὸς τοῦ μεταστάντος, ὁ Κοπιῶσος, ἦλθεν εἰς τὴν Μο-

νὴν καὶ διηγήθη τὸ ὄραμά του. Ὑπολογίσαντες δὲ ἀκριβῶς τὰς ἡμέρας ἀπὸ τοῦ θανάτου του μέχρι τοῦ ὁράματος, διεπιστώσαμεν, ὅτι ἡ ἐν ὀνείρῳ πληροφορία, περὶ ἀναψύξεως τοῦ μεταστάντος, ἐδόθη, ὅτε συνεπληρώθη ἡ τριακοστὴ ὑπὲρ αὐτοῦ λειτουργία. Πασιφανέστατα λοιπὸν ἀποδεικνύεται, ὅτι ὁ ἀποθανὼν ἀδελφὸς ἐλυτρώθη ἀπὸ τὴν βάσανον, χάρις εἰς τὴν δύναμιν τῆς ἀπολυτρωτικῆς θυσίας, τῆς Θείας Ἱερουργίας δηλαδή.

Πέτρος

15. Αὐτά, ποὺ ἀκούω, εἶναι ἀξιοθαύμαστα καὶ εὐχαριστοῦν πάρα πολὺ τὴν ψυχήν.

Γρηγόριος

16. Οἱ λόγοι τῶν ἀποθανόντων πρὸς τοὺς ζῶντας στηρίζουν καὶ δικαιολογοῦν τὰ ἔργα τῶν ζώντων ὑπὲρ τῶν ἀποθανόντων, διὰ νὰ μὴ περιπέσωμεν εἰς δειλίαν καὶ δυσπιστίαν.

Β' Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος.

Ο ΜΕΓΑΣ Ἰωάννης ἐπέτρεπε καὶ παρῄνει τοῖς ὑπ' αὐτὸν τὰς ὑπὲρ τῶν κεκοιμημένων συνάξεις συνεχῶς ἐπιτελεῖν, ἰσχυριζόμενός τε καὶ βεβαιῶν τὰ μεγάλα τοῖς κατοιχημένοις λυσιτελεῖν τὰς ὑπὲρ αὐτῶν μνήμας καὶ Λειτουργίας, εἰς πίστιν δὲ τῶν λεγομένων καί τι τοιοῦτον, οὐ πρὸ πολλοῦ γενόμενον, ἐξηγεῖτο.

2. Ἔλεγε γάρ, ὡς ὑπὸ Περσῶν τις εἰς Περσίδα αἰχμάλωτος ἀπαχθείς, ἐν τῇ φυλακῇ, ἣ οὕτω καλεῖται Λήθη, δέσμιος ἐφρουρεῖτο. Νόμος δὲ παρὰ Πέρσαις ἐκράτει τοιοῦτος, τοὺς ἐν τῇ φυλακῇ τῇδε καθειρχθέντας ἀνακαλεῖσθαι μηδέποτε· ταύτῃ τοι καὶ Λήθη αὐτῇ τὸ ὄνομα κατὰ λόγον ἐτέθη.

3. Ἐκεῖθεν οὖν ἀποδρᾶσαι τινὲς δυνατοὶ γενόμενοι, καὶ τὴν Κύπρον καταλαβεῖν, τοῖς τοῦ νεανίσκου πατράσιν ὡς εἴη τεθνηκὼς ἐν τῇ φυλακῇ διεβεβαιώσαντο· ἐκεῖνοι τοιγαροῦν τρὶς τοῦ ἐνιαυτοῦ ὡς ἐπὶ νεκρῷ συνάξεις τούτῳ ἐποίουν, καὶ τέσσαρες οὕτω παρῆλθον ἐνιαυτοί.

4. Εἶθ' οὕτως καὶ ὁ παῖς ἐκεῖθεν ἐκφυγεῖν δυνηθείς, εἰς τὴν οἰκίαν ἐπάνεισιν, ὃν οἱ γονεῖς, οὐχ ὥσπερ ἐκ φυλακῆς φυγόντα, ἀλλ' ὡς ἐκ νεκρῶν ἀναστάντα μᾶλλον σὺν πολλῇ τῇ ἐκπλήξει θεασάμενοι, καὶ ἡδονῆς ἀποῤῥήτου πλησθέντες, τἄλλά τε ἔλεγον καὶ ἐποίουν, ὅσα ἂν ψυχὴ τοιοῦτον ἰδοῦσα πάθοι καὶ εἴποι, καὶ ὅπως ὡς ἀποθανόντι ἤδη, τὰ ἐπὶ θανοῦσί γε νενομισμένα ἐποίουν, καὶ τὰς ἡμέρας ἀναδιδάξαντες αἵ τε ἦσαν, ἥ τε Ἁγία τῶν Θεοφανείων, καὶ ἡ τοῦ Σωτηρίου Πάσχα, καὶ ἡ τῆς Ἁγίας Πεντηκοστῆς.

5. Τούτων ἐκεῖνος ἀκούσας καὶ εἰς μνήμην ἐλθών, ὅρκῳ τοὺς τεκόντας διεβεβαίου, ὡς κατ' αὐτὰς τάσ δε τὰς ἡμέρας καὶ αὐτὸς τῶν δεσμῶν ἀνεῖτο, ἐπιστασίᾳ λαμπροφοροῦντός τινος, καὶ ἀδείας ἀπέλαυε πάσης, τὰς ἐφεξῆς ἐν τοῖς δεσμοῖς πάλιν, ὥσπερ καὶ πρὸ τοῦ, καταλαμβανόμενος.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Ἰωάννης προέτρεπε καὶ συνεβούλευε τοὺς ὑπ' αὐτὸν Κληρικοὺς νὰ ἐπιτελοῦν συνεχῶς συνάξεις μετὰ Θείας

Λειτουργίας ὑπὲρ τῶν κεκοιμημένων. Ἰσχυρίζετο καὶ ἐβεβαίωνεν, ὅτι τὰ μνημόσυνα καὶ αἱ Λειτουργίαι πάρα πολὺ ὠφελοῦν τοὺς ἐν Ἅδῃ εὑρισκομένους. Πρὸς ἀπόδειξιν δὲ τῶν λεγομένων του ἀνέφερεν ἕνα περιστατικόν, πρὸ ὀλίγου γενόμενον.


2. Διηγεῖτο λοιπόν, ὅτι ἕνας νέος, Κύπριος τὴν πατρίδα, συμπατριώτης τοῦ Ἁγίου, ἀπήχθη αἰχμάλωτος ὑπὸ τῶν Περσῶν, εἰς τὴν Περσίαν· ἐκεῖ ἐνεκλείσθη καὶ ἐφρουρεῖτο δέσμιος εἰς μίαν φυλακήν, ἡ ὁποία ὠνομάζετο Λήθη. Ἐπεκράτει δὲ εἰς τοὺς Πέρσας αὐστηρὸς νόμος, διὰ τοὺς ἐγκλειομένους εἰς αὐτὴν τὴν φυλακήν, ποτὲ νὰ μὴ ἐξέρχωνται οὗτοι ζῶντες ἐξ αὐτῆς. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὠνομάσθη Λήθη, δηλαδὴ Λησμοσύνη τῶν ἐν αὐτῇ φυλακισμένων.

3. Κάποτε ὅμως ἠδυνήθησαν νὰ δραπετεύσουν μερικοὶ ἀπὸ ἐκεῖ μέσα. Οὗτοι ἔφθασαν εἰς τὴν Κύπρον καὶ διεβεβαίωσαν τοὺς γονεῖς καὶ συγγενεῖς τοῦ νεαροῦ Κυπρίου φυλακισμένου, ὅτι οὗτος ἀπέθανε μέσα εἰς τὴν φυλακήν. Οἱ οἰκεῖοι, κατόπιν αὐτοῦ, ἐτέλουν τρεῖς φορὰς τὸν χρόνον ἐπιμνημοσύνους δεήσεις, μὲ τὴν ἐντύπωσιν, ὅτι ἦτο νεκρὸς ὁ νεανίσκος. Τοιουτοτρόπως ἐπέρασαν τέσσαρα ἔτη.

4. Μετὰ τὰ τέσσαρα ἔτη ὁ νεανίσκος ἠδυνήθη νὰ δραπετεύσῃ καὶ νὰ ἐπιστρέψῃ εἰς τὴν πατρίδα του. Τόση ἦτο ἡ ἔκπληξις καὶ ἡ ἀνέκφραστος εὐχαρίστησις τῶν γονέων του, μόλις τὸν εἶδον, ὥστε δὲν τὸν ὑπεδέχθησαν ὡς ἐκ τῆς φυλακῆς διαφυγόντα, ἀλλ' ὡς ἐκ νεκρῶν ἀναστάντα. Ὑπὸ τὸ κράτος δὲ τοιούτων συγκλονιστικῶν αἰσθημάτων ἔλεγον καὶ ἔκαμνον ὅσα εἶναι δυνατὸν νὰ πράξῃ κάθε ψυχή, ἡ ὁποία θὰ ἔβλεπε ἕνα τοιοῦτον γεγονός. Μεταξὺ τῶν ἄλλων διηγοῦντο εἰς τὸν ἐπιστρέψαντα νεανίσκον, ὅτι, ἐπειδὴ τὸν ἐθεώρουν ὡς ἀποθανόντα, ἐπετέλεσαν ὑπὲρ τῆς ψυχῆς του ὅλα τὰ κανονικὰ μνημόσυνα, ὅπως γίνεται εἰς τοὺς νεκρούς. Συγχρόνως ἀνέφεραν καὶ τὰς ἡμέρας, ποὺ ἐπετέλουν τὰ καθήκοντα αὐτά· ἦσαν δὲ αὐταὶ τὰ Ἅγια Θεοφάνεια, τὸ Πάσχα καὶ ἡ Ἁγία Πεντηκοστή.

5. Μόλις ἤκουσεν αὐτὰ τὰ πράγματα ὁ νέος, ἐνεθυμήθη ἕνα ἀξιοθαύμαστον γεγονός, ποὺ τοῦ συνέβαινεν εἰς τὴν φυλακὴν καὶ διεβεβαίωνε μὲ ὅρκον τοὺς γονεῖς του, ὅτι καὶ αὐτὸς τὰς ἡμέρας αὐτὰς ἠλευθεροῦτο ἀπὸ τὰς ἁλύσεις, μὲ τὴν φροντίδα ἑνὸς λαμπροφοροῦντος ἀνδρὸς καὶ ἀπελάμβανε κάθε ἐλευθερίαν, ἐπ' ὀλίγον. Μετὰ δὲ πάλιν ἐκλείετο, ὅπως καὶ πρότερον, εἰς τὰ δεσμά.





·ΥΠΟΘΕΣΙΣ ΛΑ'·

"Ὅτι μετὰ θάνατον οὐκ ἔστι συγχώρησις, εἰ μήπου τῶν ἐλαφρῶν πάνυ ἁμαρτημάτων, καὶ τούτων μόλις· καὶ ὅτι τὸν ἅπαξ εἰς τὴν κόλασιν ἐμβληθέντα, οὐκ ἔστι ταύτης ἐξαιρεθῆναί ποτε.

Μετὰ θάνατον δὲν ὑπάρχει συγχώρησις, ἐκτὸς τῶν πάρα πολὺ ἐλαφρῶν ἁμαρτημάτων· ἀλλὰ καὶ τούτων μετὰ μεγίστης δυσκολίας. Αὐτός, τὸν ὁποῖον αἱ πράξεις του κατέστησαν ἄξιον τῆς κολάσεως, εἶναι ἀδύνατον νὰ ἐξέλθῃ ποτὲ ἐξ αὐτῆς.

Α'. Γρηγορίου τοῦ Διαλόγου.





ΚΥΡΙΟΣ ἐν τοῖς Εὐαγγελίοις λέγει· «περιπατεῖτε ἕως τὸ φῶς ἔχετε»· διὰ δὲ τοῦ Προφήτου φησί· «καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι»· ὅπερ ὁ Ἀπόστολος ἑρμηνεύων λέγει· «ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας». Ὁ δὲ Σολομὼν λέγει· «πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, ὡς ἡ δύναμίς σου, ποίησον, ὅτι οὐκ ἔστι ποίημα καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία ἐν Ἅδῃ, ὅπου σὺ πορεύῃ ἐκεῖ».

2. Ἐκ πασῶν οὖν τούτων τῶν μαρτυριῶν ἐμφανῶς δείκνυται, ὅτι οἷος ἀπὸ τῶν ἐνταῦθα ἐξέλθῃ ἕκαστος, τοιοῦτος καὶ ἐν τῇ κρίσει παρίσταται.

3. Πλὴν ἰστέον, ὅτι τῶν ἐλαφρῶν καὶ ἐλαχίστων ἁμαρτημάτων λυτροῦνται οἱ τεθνηκότες διὰ τῆς ὑπὲρ αὐτῶν ἱκεσίας τῶν ζώντων, καὶ ἐλεημοσυνῶν καὶ προσφορῶν τῆς ἱερᾶς θυσίας, ὧν ὑπὲρ αὐτῶν ποιοῦσιν οἱ ἔτι ἐν τῷ παρόντι βίῳ ὑπάρχοντες, βοηθούμενοι δηλαδὴ καὶ αὐτοὶ ὑπὸ τῶν ἑτέρων αὐτῶν πράξεων τῶν καλῶν. Τότε γὰρ καὶ τῆς θείας ἀφέσεως τῶν ἐλαφρῶν πταισμάτων ἀξιωθῆναι δύνανται.

Πέτρος

4. Αἰτῶ μαθεῖν καὶ τοῦτο, τοὺς ἅπαξ ἐν τῷ τῆς γεέννης πυρὶ ῥιφέντας, διηνεκῶς καταφλέγεσθαι ὑποληπτέον;

Γρηγόριος

5. Τοῦτο καὶ πάντῃ ἀληθὲς τυγχάνει, καὶ δισταγμὸς ἐν αὐτῷ ὅλως οὐκ ἔστιν· ὥσπερ γὰρ τέλος τῆς τῶν ἀγαθῶν χαρᾶς οὐκ ἔστιν, οὕτως οὐδὲ τῆς βασάνου τῶν πονηρῶν τέλος ἔσται· αὐτὴ δὲ ἡ Ἀλήθεια εἴρηκεν· «ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον».

6. Εἰ οὖν ὃ ὑπέσχετο τοῖς ἀγαθοῖς ἀληθές ἐστι, δηλονότι καὶ ὃ ἠπείλησε τοῖς πονηροῖς ἀψευδὲς τυγχάνει· ἐπ' ἀμφοτέρων γὰρ ὁμοίως τὸ αἰώνιον πρόσκειται· εἰ δέ τις λέγει, ὅτι φύσει ἀγαθὸς ὢν ὁ Θεὸς καὶ φιλάνθρωπος οὐκέτι ἐκπληροῖ ὃ ἠπείλησε, γινωσκέτω, ὅτι ἐν ὅσῳ λέγει Αὐτὸν ἐλεήμονα, ψεύστην Αὐτὸν κηρύττει, ὅπερ καὶ ὅλως ἐννοῆσαι ἐπικίνδυνόν ἐστιν.

Πέτρος

ΕΠΙΣΚΟΠΩ τινὶ Ἁγίῳ διορατικῷ, μετὰ τὴν θείαν Μυσταγωγίαν μεταδιδόντι τῷ λαῷ τῶν Ἁγιασμάτων, ἐφαίνοντο οἱ μὲν τῶν προσιόντων μελανοὶ τὰς ὄψεις, καὶ ὥσπερ ἀσβόλῃ τινὶ κεχρισμένοι, οἱ δὲ πυρώδεις τὰ πρόσωπα καὶ τοὺς ὀφθαλμοὺς ὕφαιμοι· οἳ καὶ ὡς τοῦ Δεσποτικοῦ Σώματος μετελάμβανον, διεκαίοντο τότε ὑπ' αὐτοῦ καὶ ἐφλέγοντο πάντοθεν.

2. Τοὺς δὲ τῶν προσερχομένων ἑώρα λαμπροὺς μὲν τὰς ὄψεις, λευκοὺς δὲ τὰς ἐσθῆτας, οἷς καὶ τὸ τοῦ Κυρίου Σῶμα ὡς φῶς γινόμενον, ἐλάμπρυνε μᾶλλον αὐτοὺς καὶ καθαρωτέρους εἰργάζετο· ἐν τούτοις δὲ πᾶσιν ἦσαν καὶ κοσμικοί τινες καὶ Μοναχοί.

3. Μετὰ οὖν τὸ ἀπολυθῆναι τὴν σύναξιν, ἐδέετο τοῦ Θεοῦ ὁ Ἐπίσκοπος ἀποκαλυφθῆναι αὐτῷ τὴν δύναμιν καὶ αἰτίαν ὧν ἐθεάσατο.

4. Καὶ παραστὰς αὐτῷ Ἄγγελος Κυρίου, λέγει πρὸς αὐτόν· «ἐπὶ τούτοις διαπορεῖς, οἷς ἑώρακας; Μάνθανε οὖν, ὡς οἱ μὲν λαμπροὶ τὰς ὄψεις καὶ λευκοὶ τὰς στολάς, ἐν σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ ἁγνείᾳ ζῶσιν· ἐπιεικεῖς τέ εἰσι καὶ συμπαθεῖς καὶ ἐλεήμονες, οἵ καὶ καθαρῷ συνιδότι τῶν Ἁγιασμάτων μεταλαμβάνοντες, λαμπρύνονται ὑπ' αὐτῶν καὶ λαμπρότεροι γίνονται».

5. «Οἱ δὲ τὰς ὄψεις μελαίνας ἔχοντες, πορνείας καὶ ἀσελγείας εἰσὶν ἐργάται, ἀσωτίᾳ καὶ τρυφῇ συζῶντες διηνεκεῖ· οἱ δὲ ὕφαιμοι καὶ πυρώδεις τοὺς ὀφθαλμοὺς καὶ τὰ πρόσωπα, πονηρίᾳ καὶ ἀδικίᾳ ἀείποτε χαίρουσι. φιλολοίδοροί τε καὶ βλάσφημοι, δόλιοί τε καὶ φόνιοι τυγχάνουσιν».

6. «Οἳ καὶ τὸ Δεσποτικὸν μεταλαμβανόμενοι Σῶμα, οὐ μόνον οὐ καθαίρει τούτους, ἀλλὰ καὶ καταφλέγει μᾶλλον, ὡς ἐν ῥυπαρᾷ συνειδήσει καὶ ἀκαθάρτῳ, καὶ μὴ ἐχούσῃ τὴν ἐκ τῆς μετανοίας βοήθειαν, τῶν τοιούτων Μυστηρίων κατατολμῶντας».

7. «Σὺ οὖν εἴπερ τῆς αὐτῶν σωτηρίας ἐπιθυμεῖς, καὶ γὰρ διὰ τοῦτο καὶ ταῦτα ἀπεκαλύφθη σοι, ἵνα ὄψει μαθὼν τὰς ἁμαρτίας τοῦ ὑπὸ σοῦ ποιμαινομένου λαοῦ, βοηθήσῃς αὐτοῖς ἐν διδασκαλίαις καὶ παραινέσεσι, σπούδασον διὰ μετανοίας αὐτοὺς βελτίους ποιῆσαι καὶ ἐπιστρέψαι πρὸς τὸν Θεόν, τὸν ὑπὲρ αὐτῶν ἀποθανόντα καὶ ἀναστάντα».

8. «Οὕτω μὲν γὰρ αὐτοῖς ὁλοψύχως μετανοήσασι καὶ διορθωσαμένοις ἑαυτούς, παρὰ τοῦ φύσει ἀγαθοῦ καὶ φιλανθρώπου Δεσπότου οὐ μόνον ἔσται τῶν πλημμελημάτων συγχώρησις, ἀλλὰ καὶ ἀπόλαυσις τῶν μελλόντων δοθήσεται ἀγαθῶν· σοὶ δὲ πολὺς ὁ μισθός, μιμησαμένῳ τὸν οἰκεῖον Δεσπότην, ὃς διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν «ἑαυτὸν ἐκένωσε», καὶ τὴν τοῦ «δούλου μορφὴν» φορέσαι οὐκ ἀπηξίωσεν».

Ἑρμηνεία

ΕΙΣ ἕνα Ἅγιον καὶ διορατικὸν Ἐπίσκοπον, ὅταν μετέδιδε τὴν Ἁγίαν Κοινωνίαν εἰς τὸν λαόν, μετὰ τὴν θείαν Μυσταγωγίαν, ἀπεκαλύπτοντο τὰ ἑξῆς σπουδαῖα πράγματα· ἄλλοι μὲν ἐκ τῶν προσερχομένων εἶχον μαυρισμένα πρόσωπα, ὡς νὰ ἐμουντζουρώθησαν μὲ κάπναν· ἄλλων πάλιν τὰ πρόσωπα ἦσαν κατακόκκινα ὡσὰν φωτιὰ καὶ τὰ μάτια των ματωμένα. Ὅλοι αὐτοὶ μόλις μετελάμβανον τοῦ Δε-

σποτικοῦ Σώματος, ἀμέσως κατεκαίοντο καὶ κατεφλέγοντο ἀπὸ αὐτό.

2. Ἀντιθέτως πρὸς αὐτούς, ἔβλεπεν ἄλλους ἐκ τῶν προσερχομένων νὰ ἔχουν τὰ πρόσωπα λαμπερὰ καὶ νὰ φοροῦν λευκὰ ἐνδύματα· εἰς αὐτοὺς τὸ Σῶμα τοῦ Κυρίου μετεβάλλετο εἰς φῶς καὶ τοὺς ἐλάμπρυνεν ἀκόμη περισσότερον κατεργαζόμενον αὐτοὺς καθαρωτέρους. Μεταξὺ αὐτῶν ἦσαν καὶ μερικοὶ κοσμικοὶ καὶ Μοναχοί.

3. Μετὰ λοιπὸν τὴν ἀπόλυσιν τῆς θείας Λειτουργίας, παρεκάλει τὸν Θεὸν ὁ Ἐπίσκοπος νὰ τοῦ φανερώσῃ τὴν βαθυτέραν σημασίαν αὐτῶν, ποὺ ἔβλεπε, ὡς καὶ ποία ἦτο ἡ αἰτία τῆς διαφορετικῆς καταστάσεως τῶν προσερχομένων.

4. Ὁ Θεὸς τοῦ ἀπέστειλλεν Ἄγγελον, ὅστις εἶπε πρὸς αὐτόν:

—«Ἀπορεῖς δι᾽ ὅσα ἔχεις ἰδεῖ; Μάθε λοιπόν, ὅτι ἐκεῖνοι, ποὺ εἶχον λαμπερὰ πρόσωπα καὶ λευκὰς στολάς, εἶναι αὐτοὶ ποὺ ζοῦν μὲ σωφροσύνην, μὲ δικαιοσύνην καὶ ἁγνότητα· ὡς ἐπίσης καὶ αὐτοί, ποὺ εἶναι ἐπιεικεῖς, συμπαθοῦν καὶ ἐλεοῦν. Αὐτοὶ λοιπὸν ὅλοι, ἐπειδὴ μεταλαμβάνουν μὲ καθαρὰν τὴν συνείδησιν, λαμπρύνονται ἀπὸ τὴν μετάληψιν τῶν θείων Ἁγιασμάτων καὶ γίνονται ἀκόμη λαμπρότεροι».

5. «Αὐτοὶ ποὺ ἔχουν τὰ πρόσωπά των μαῦρα ἔχουν διαπράξει πορνείας καὶ ἀσελγείας καὶ ζοῦν διαρκῶς μὲ ἀσωτείας καὶ κοσμικοὺς θορύβους. Τέλος, αὐτούς, ποὺ εἶδες, ὅτι εἶχον κατακόκκινα καὶ αἱματωμένα μάτια καὶ πρόσωπα, εἶναι αὐτοί, ποὺ εὐχαριστοῦνται πάντοτε εἰς τὴν πονηρίαν καὶ τὴν ἀδικίαν, αὐτοὶ ποὺ χλευάζουν καὶ κατεξευτελίζουν τοὺς ἄλλους, οἱ βλάσφημοι, οἱ δόλιοι καὶ οἱ φονεῖς».

6. «Αὐτοὶ ὅλοι, ἂν καὶ μεταλαμβάνουν τὸ Δεσποτικὸν Σῶμα, ἐν τούτοις αὐτὸ ὄχι μόνον δὲν τοὺς καθαρίζει, ἀλλὰ ἀσφαλῶς τοὺς καταφλέγει, διότι μὲ ῥυπαρὰν καὶ ἀκάθαρτον συνείδησιν, καὶ χωρὶς τὴν βοήθειαν τῆς μετανοίας, τολμοῦν ἀδιάντροπα νὰ μεταλάβουν».

7. «Σὺ λοιπόν, ἐὰν βεβαίως ἐπιθυμῇς τὴν σωτηρίαν των, (ἄλλωστε δι᾽ αὐτὸν ἀκριβῶς τὸν λόγον σοῦ ἀπεκαλύφθησαν ὅλα αὐτά, διὰ νὰ ἀντιληφθῇς μὲ τοὺς ἰδίους σου ὀφθαλμοὺς τὰς ἁμαρτίας τοῦ ποιμνίου σου) φρόντισε διὰ τῆς μετανοίας καὶ ἐξομολογήσεως νὰ τοὺς κάμῃς καλλιτέρους, καί, βοηθῶν αὐτοὺς μὲ διδασκαλίας καὶ συμβουλάς, νὰ τοὺς ἐπαναφέρῃς πρὸς τὸν Θεόν, ὁ ὁποῖος χάριν αὐτῶν ἀπέθανε καὶ ἀνεστήθη».

8. «Διότι τοιουτοτρόπως ὁλοψύχως μετανοοῦντες καὶ διορθούμενοι θὰ τύχουν ἀπὸ τὸν φύσει ἀγαθὸν καὶ φιλάνθρωπον Δεσπότην, ὄχι μόνον τῆς συγχωρήσεως τῶν ἁμαρτιῶν των, ἀλλὰ καὶ τῆς ἀπολαύσεως τῶν μελλόντων ἀγαθῶν. Εἰς σὲ δέ, ἐφ᾽ ὅσον κοπιάσῃς διὰ τὴν μετάνοιαν καὶ σωτηρίαν τοῦ ποιμνίου σου, θὰ ἐπιχορηγηθῇ ὑπὸ τοῦ Θεοῦ πολὺς ὁ μισθός, ὡς ἄξιον μιμητὴν τοῦ Δεσπότου σου, ὅστις διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων «ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν» (Φιλ. β´ 7), ἐταπείνωσε δηλαδὴ ἀφαντάστως τὸν Ἑαυτόν του καὶ κατεδέχθη νὰ ἀναλάβῃ τὴν μορφὴν τοῦ δούλου».

ϛ'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΑΔΕΛΦΟΙ, ἐννοήσωμεν τοὺς ἑστῶτας ἐνώπιον ἐπιγείου βασιλέως καὶ λειτουργοῦντας θρόνῳ θνητῷ, πῶς μετὰ πάσης εὐλαβείας καὶ φόβου παρίστανται τῷ βασιλεῖ αὐτῶν· εἰ οὖν ἐκεῖνοι οὕτως, οὐ πολλῷ μᾶλλον ἡμεῖς ὀφείλομεν ἑστάναι ἐνώπιον τοῦ ἐπουρανίου βασιλέως, μετὰ φόβου καὶ τρόμου, καὶ πάσης σεμνότητος; Ἑαυτοῖς οὖν προσέχωμεν, καὶ μὴ ἀναιδεῖ ὀφθαλμῷ κατανοῶμεν τοῖς προκειμένοις μυστηρίοις τοῦ Δεσποτικοῦ Σώματος καὶ Αἵματος.

2. Εἰ γὰρ Μωϋσῆς οὐκ ἐτόλμα κατανοῆσαι, πόσῳ γε μᾶλλον ὀφείλομεν ἡμεῖς εἰς ἑαυτοὺς συστέλλεσθαι καὶ μετὰ δέους παρίστασθαι; γέγραπται γάρ· «τοὺς δοξάζοντάς με δοξάσω· καὶ ὁ ἐξουθενῶν με, ἀτιμασθήσεται». Σὺ μὲν γὰρ ὡς ἄνθρωπος κατανοεῖς, αὐτὸς δὲ ὡς Θεὸς οἶδε τὰ βάθη τῆς καρδίας σου, καὶ τὰ ἐνθυμήματά σου· «οὐκ ἔστι, γάρ, κτίσις ἀφανὴς ἐνώπιον Αὐτοῦ».

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ ΜΟΥ, ἂς λάβωμεν ὑπ' ὄψιν μας αὐτούς, ποὺ παρίστανται ἐνώπιον ἑνὸς ἐπιγείου βασιλέως καὶ ὑπηρετοῦν θρόνον θνητοῦ ἀνθρώπου, διὰ νὰ παραδειγματισθῶμεν μὲ πόσην εὐλάβειαν καὶ φόβον στέκουν ἐμπρὸς εἰς τὸν βασιλέα των. Ἐὰν λοιπὸν ἐκεῖνοι τοιουτοτρόπως στέκουν μετὰ σεβασμοῦ καὶ προσοχῆς, δὲν ἔχομεν ὑποχρέωσιν ἡμεῖς, ὁσάκις ἱστάμεθα ἐνώπιον τοῦ ἐπουρανίου Βασιλέως, νὰ παριστάμεθα μετὰ φόβου καὶ τρόμου καὶ μετὰ πάσης σεμνότητος; Ἂς προσέχωμεν λοιπὸν τοὺς ἑαυτούς μας καὶ ἂς μὴ περιεργαζώμεθα μὲ ἀδιάντροπα βλέμματα τὰ προκείμενα εἰς ἡμᾶς μυστήρια τοῦ Δεσποτικοῦ Σώματος καὶ Αἵματος.

2. Διότι, ἐὰν ὁ Μωϋσῆς δὲν ἐτολμοῦσε καὶ νὰ σκεφθῇ ἀκόμη, πόσον λοιπὸν περισσότερον ἡμεῖς ἔχομεν ὑποχρέωσιν νὰ αὐτοσυγκεντρωνώμεθα, νὰ συμμαζεύωμεν τὰς σκέψεις μας καὶ μετὰ δέους, ὀφειλομένου εἰς τὴν συναίσθησιν τῆς μυστικῆς παρουσίας τοῦ Θεοῦ, νὰ παριστάμεθα κατὰ τὴν ὥραν τῆς θείας Μυσταγωγίας; Εἶναι γραμμένον· «αὐτούς, ποὺ μὲ δοξάζουν, θὰ τοὺς δοξάσω· ἐκεῖνος δὲ ποὺ μὲ περιφρονεῖ, θὰ ἀτιμασθῇ» (Α' Βασιλ. β' 30). Σὺ βεβαίως ὡς ἄνθρωπος σκέπτεσαι καὶ πολυπραγμονεῖς διὰ τῆς σκέψεως· ἐνῷ Ἐκεῖνος, ὡς Θεός, γνωρίζει τὰ βάθη τῆς καρδίας σου καὶ τὰς σκέψεις σου· διότι «δὲν ὑπάρχει κανὲν κτίσμα ἀφανὲς ἐνώπιον τοῦ Θεοῦ» (Ἑβρ. δ' 13).

Ζ'. Τοῦ Ἀββᾶ Ἡσαΐου.

ΕΝ ΤΗ ΩΡΑ τῆς προσφορᾶς ἀνθίστασο τοῖς λογισμοῖς σου, τῶν αἰσθήσεών σου ἱσταμένων ἐν φόβῳ Θεοῦ, ἵνα τῶν Μυστηρίων ἀξιωθῇς, καὶ ἰάσηταί σε ὁ Κύριος· εἰ δὲ οὐ φυλάξεις πάντα λογισμόν, μὴ προσέλθῃς, ἵνα μὴ μεταλάβῃς εἰς κρῖμα· τὴν γὰρ Ἁγίαν Κοινωνίαν καλοῦσιν ἕνωσιν πρὸς τὸν Θεόν.

2. Ὅσον οὖν νικώμεθα ὑπὸ παθῶν, εἴτε θυμοῦ, εἴτε ζήλου, ἢ ἀνθρωπαρεσκείας, ἢ κενοδοξίας, ἢ μίσους, ἢ ὑφ' ἑτέρου πάθους, μακράν ἐσμεν τοῦ Θεοῦ· ποῦ οὖν ἐστιν ἡ ἕνωσις ἡ πρὸς Θεόν;

3. Εἶπε πάλιν· οὐαί μοι, οὐαί μοι, ὅτι ἐν ὅσῳ κοινωνῶ μετὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ, ποία ἐστὶν ἡ κοινωνία, ἣν ἔχω μετ' Αὐτοῦ; Λοιπὸν εἰς κρῖμα ἐμὸν μεταλαμβάνω.

4. Τότε γὰρ τοῦτον τὸν λόγον λέγομεν· «τὰ Ἅγια τοῖς Ἁγίοις»· οὐχὶ τοῖς βεβήλοις, ἀλλὰ τοῖς Ἁγίοις τὰ Ἅγια δίδοται· εἰ οὖν Ἅγιός εἰμι, τίνες εἰσὶν οὗτοι οἱ ἐργαζόμενοι ἐν ἐμοί; Οὐαί μοι, οὐαί μοι, ὅτι περίκειταί μοι τὸ ὄνομά Σου, Κύριε, καὶ δουλεύω τοῖς ἐχθροῖς Σου.

Ἑρμηνεία

ΚΑΤΑ τὴν ὥραν τῆς θείας Μυσταγωγίας, νὰ ἀντικρούῃς τοὺς λογισμούς σου καὶ αἱ αἰσθήσεις σου νὰ τελοῦν ὑπὸ τὸν φόβον, ἐκ τῆς παρουσίας τοῦ Θεοῦ, διὰ νὰ ἀξιωθῇς τῶν θείων Μυστηρίων καὶ τοιουτοτρόπως νὰ σὲ θεραπεύσῃ ὁ Κύριος. Ἐὰν ὅμως δὲν περιορίσῃς τοὺς λογισμούς σου, τότε νὰ μὴ προσέλθῃς εἰς τὴν θείαν Μετάληψιν, διὰ νὰ μὴ κατακριθῇς ὑπὸ τοῦ Θεοῦ· διότι τὴν Ἁγίαν Κοινωνίαν ὀνομάζουν ἕνωσιν μετὰ τοῦ Θεοῦ.

2. Ὅσον λοιπὸν νικώμεθα ὑπὸ τῶν παθῶν, εἴτε τοῦ θυμοῦ, εἴτε τοῦ φθόνου, ἢ ἀνθρωπαρεσκείας, ἢ κενοδοξίας, ἢ μίσους, ἢ ἄλλου πάθους, εὑρισκόμεθα μακρὰν τοῦ Θεοῦ· πῶς λοιπὸν νὰ καταστῇ δυνατὴ ἡ ἕνωσίς μας μετὰ τοῦ Θεοῦ;

3. Ὁ ἴδιος πάλιν ὁ Ἀββᾶς Ἠσαΐας εἶπεν: Ἀλλοίμονόν μου, ἀλλοίμονόν μου, διότι ἐφ' ὅσον ἐπικοινωνῶ μὲ τοὺς ἐχθροὺς τοῦ Θεοῦ, ποίαν ἐπικοινωνίαν δύναμαι νὰ ἔχω μαζί Του; Τότε λοιπὸν μεταλαμβάνω πρὸς κατάκρισίν μου.

4. Κατὰ τὴν στιγμὴν τῆς Ἁγίας Κοινωνίας λέγομεν· «τὰ Ἅγια τοῖς Ἁγίοις». Δηλαδὴ τὰ Ἅγια νὰ μὴ δοθοῦν εἰς τοὺς βεβήλους, ἀλλὰ εἰς εἰς τοὺς Ἁγίους. Ἐὰν λοιπὸν εἶμαι Ἅγιος, τότε ποῖοι εἶναι αὐτοί, (οἱ κακοὶ λογισμοί, τὰ πάθη) ποὺ ἐργάζονται μέσα εἰς τὴν καρδίαν μου; Ἀλλοίμονόν μου, ἀλλοίμονον μου, διότι, ἐνῷ ἔχω τὸ Ὄνομά Σου (ὀνομάζομαι δηλαδὴ Χριστιανός), ἐν τούτοις, διὰ τῶν ἔργων μου, δουλεύω εἰς τοὺς ἐχθρούς Σου.

Η´. Τοῦ Ἀββᾶ Βαρσανουφίου.

ΑΔΕΛΦΟΣ ἠρώτησε Γέροντα λέγων· ἐὰν γενομένης μοι νυκτερινῆς φαντασίας, φθάσῃ τῇ ἑξῆς ἡ Ἁγία Κοινωνία, τί δεῖ ποιῆσαι; Καὶ ἀπεκρίθη ὁ Γέρων· προσέλθωμεν ὡς τετραυματισμένοι, καὶ μὴ ὡς καταφρονοῦντες, ἀλλ' ὡς χρείαν ἔχοντες ἰατροῦ, καὶ ἰᾶται ἡμᾶς ὁ ἰασάμενος τὴν αἱμοῤῥοοῦσαν· ἀγαπήσωμεν πολλά, ἵνα καὶ ἡμῖν εἴπῃ· «ἀφέωνται αἱ ἁμαρτίαι ὑμῶν αἱ πολλαί, ὅτι ἠγαπήσατε πολύ».

2. Καὶ ὅταν μέλλῃς κοινωνεῖν, λέγε· «μὴ εἴη μοι, Δέσποτα, τὰ Ἅγια ταῦτα εἰς κρῖμα, ἀλλ' εἰς ἁγιασμὸν ψυχῆς τε καὶ σώματος». Καὶ τότε πρόσελθε μετὰ φόβου, καὶ ποιεῖ ὁ Θεὸς τὸ ἔλεος Αὐτοῦ μεθ' ἡμῶν.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε Γέροντα:

—Ἐὰν μοῦ συμβῇ νυκτερινὴ σκανδαλιστικὴ φαντασία, καὶ τὸ πρωῒ πρόκειται νὰ κοινωνήσω τῶν ἀχράντων Μυστηρίων, τί πρέπει νὰ κάμω:

Ὁ Γέρων ἀπήντησε:

—Θὰ προσέλθωμεν εἰς τὴν Ἁγίαν Κοινωνίαν, ὄχι ἀπὸ περιφρόνησιν πρὸς τὴν ἱερότητα τῶν Μυστηρίων, ἀλλὰ μὲ τὴν συναίσθησιν τοῦ τραυματίου, ποὺ ἔχει ἀνάγκην ἰατροῦ· καὶ τότε ὁ Κύριος, ποὺ ἐθεράπευσε τὴν αἱμορροοῦσαν, θὰ θεραπεύσῃ καὶ ἡμᾶς. Ἂς ἀγαπήσωμεν πάρα πολὺ τὸν Κύριον, διὰ νὰ εἴπῃ καὶ εἰς ἡμᾶς· «ἄς εἶναι συγχωρημέναι αἱ πολλαί σας ἁμαρτίαι, διότι ἠγαπήσατε πολύ» (Λουκ. ζ΄ 47).

2. Ὅταν δὲ πρόκειται νὰ κοινωνήσῃς, νὰ λέγῃς τὴν ἑξῆς προσευχήν· «Ἂς μὴ γίνουν εἰς ἐμέ, Δέσποτα, αὐτὰ τὰ Ἅγια εἰς κατάκρισιν, ἀλλ' ἄς ἁγιάσουν τὴν ψυχὴν καὶ τὸ σῶμα μου». Καὶ τότε νὰ προσέλθῃς μετὰ φόβου· τότε καὶ ὁ Θεὸς θὰ μᾶς ἐλεήσῃ.





·ὙΠΟΘΕΣΙΣ ΛΔ΄·

Ὅτι τὸ καθ' ἑκάστην κοινωνεῖν λίαν ὠφέλιμον, ὥσπερ καὶ τὸ μὴ συνεχῶς κοινωνεῖν βλαβερὸν καὶ ἐπικίνδυνον.

Ἡ τακτικὴ θεία Μετάληψις εἶναι πάρα πολὺ ὠφέλιμος· ἐξ ἀντιθέτου δέ, ἡ μὴ συχνὴ Μετάληψις εἶναι βλαβερὰ καὶ ἐπικίνδυνος.



Α΄. Παλλαδίου.

ΤΟΙΣ πεντακοσίοις ἀδελφοῖς τοῖς οὖσι σὺν τῷ Μεγάλῳ Ἀπολλῷ, ἔθος ἦν καθ' ἡμέραν κατὰ τὴν ἐνάτην ὥραν κοινωνήσαντας τῶν Ἀχράντων Μυστηρίων, εἶθ' οὕτω διαιτηθέντας καθέζεσθαι καὶ διδάσκεσθαι παρ' αὐτοῦ τὰς θείας ἐντολάς, ἄχρι πρωτοϋπνίου.

2. Ἔλεγε δὲ πρὸς αὐτούς, ὅτι δεῖ νοερῶς ἑαυτοὺς καθαίρειν τὸ καθ' ἡμέραν καὶ ἑτοιμάζεσθαι, ὥστε ἀξίους εἶναι πάντοτε πρὸς ὑποδοχὴν τῶν θείων Μυστηρίων, πρός τε ὑπόμνησιν τοῦ σωτηρίου Πάθους, καὶ δι' αὐτῶν ἀφέσεως ἁμαρτιῶν ἀξιούμενοι.

Ἑρμηνεία

ΟΙ πεντακόσιοι ἀδελφοί, ποὺ ἠσκήτευον μαζὶ μὲ τὸν Μεγάλον Ἀπολλώ, εἶχον συνήθειαν νὰ μεταλαμβάνουν τῶν Ἀχράντων Μυστηρίων καθημερινῶς, κατὰ τὴν ἐνάτην ὥραν (1)· μετὰ τὴν θείαν Μετάληψιν, ἀφοῦ ἔτρωγον, ἐκάθηντο πλησίον τοῦ Μεγάλου Ἀπολλώ, διὰ νὰ διδάσκωνται ἀπὸ αὐτὸν τὰς θείας ἐντολὰς ἕως ὅτου ἐνύκτωνε καὶ ἀπεσύροντο πρὸς μικρὰν ἀνάπαυσιν (διότι δύο περίπου ὥρας πρὸ τοῦ μεσονυκτίου ἠγείροντο πρὸς προσευχὴν μέχρι πρωΐας).

2. Ἔλεγε δὲ ὁ Μέγας Ἀπολλὼ πρὸς αὐτούς, ὅτι πρέπει νὰ καθαρίζουν καθ' ἑκάστην ἡμέραν τὰς διανοίας των ἀπὸ πονηροὺς λογισμοὺς καὶ νὰ προετοιμάζωνται ψυχικῶς, ὥστε νὰ εἶναι πάντοτε ἄξιοι διὰ τὴν ὑποδοχὴν τῶν θείων Μυστηρίων, καὶ διὰ νὰ ἐνθυμοῦνται τὸ σωτήριον Πάθος, διὰ τῶν θείων δὲ Μυστηρίων νὰ ἀξιώνωνται ἀφέσεως τῶν ἁμαρτιῶν των.

Β΄. Τοῦ αὐτοῦ.

ΑΝΗΡ τις Αἰγύπτιος ἄσωτος ἠράσθη γυναικὸς ὑπάνδρου καὶ σώφρονος, καὶ ἀποτυχὼν τοῦ σκοποῦ, προσωμίλησε γόητι λέγων· ἔργασαι τῇ τέχνῃ σου ἵνα ἀγαπήσῃ με, ἢ ἵνα ῥίψῃ αὐτὴν ὁ ἀνὴρ αὐτῆς. Καὶ λαβὼν

1) Βλέπε ἐν τῇ ὑποσημειώσει τῆς σελ. 258.

ὁ γόης τὸ ἱκανὸν παρ' αὐτοῦ, καὶ μὴ δυνηθεὶς ταῖς γοητείαις μεταποιῆσαι τὸν σώφρονα νοῦν αὐτῆς, παρασκευάζει εἰς φοράδα αὐτὴν φαίνεσθαι τοῖς ὁρῶσι.

2. Καὶ ἐλθὼν ἔξωθεν ὁ ἀνὴρ αὐτῆς, καὶ ἰδὼν αὐτὴν ἐν σχήματι φοράδος, ἀπωδύρετο λίαν τὴν συμφοράν· καὶ προσκαλεσάμενος τοὺς Πρεσβυτέρους τῆς κώμης δείκνυσιν αὐτήν, καὶ οὐδὲ αὐτοὶ συνῆκαν τὸ γεγονός. Καὶ ἐπὶ τρεῖς ἡμέρας μηδενὸς γευσαμένης αὐτῆς, τέλος ἀνέβη ἐπὶ τὸν νοῦν τοῦ ἀνδρὸς ἀγαγεῖν αὐτὴν εἰς τὴν ἔρημον πρὸς τὸν Ἅγιον Μακάριον τὸν Αἰγύπτιον· καὶ φορβιάσας αὐτὴν ὡς ἵππον, οὕτως αὐτὴν ἤγαγεν ἔνθα ὁ τοῦ Θεοῦ ᾤκει ἄνθρωπος.

3. Καὶ ἐν τῷ πλησιάσαι, λέγουσιν αὐτῷ οἱ ἀδελφοί· τί ὧδε τὴν φοράδα ἤγαγες; Ὁ δὲ ἔφη· ἵνα ἐλεηθῇ τῇ προσευχῇ τοῦ Ἁγίου. Οἱ δὲ εἶπον· τί γὰρ κακὸν ἔχει; Λέγει αὐτοῖς· αὕτη ἣν ὁρᾶτε φοράδα, ἡ γυνή μου ἦν ἡ ἀθλία, καὶ οὐκ οἶδα τί γέγονεν αὐτῇ.

4. Τῷ Ἁγίῳ δὲ ἀπεκαλύφθη πάντα τὰ γεγονότα αὐτῇ, καὶ ἦν δεόμενος τοῦ Θεοῦ περὶ αὐτῆς. Οἱ δὲ ἀναφέρουσι περὶ αὐτῆς τῷ θεράποντι τοῦ Χριστοῦ Μακαρίῳ λέγοντες, ὅτι φοράδα ἐνταῦθά τις ἤγαγε. Λέγει αὐτοῖς· ὑμεῖς ἐστε ἵπποι, οἱ τῶν ἵππων τοὺς ὀφθαλμοὺς ἔχοντες· ἐκείνη δὲ γυνή ἐστιν, ὡς ἐκτίσθη· μετεσχηματίσθη δὲ τοῖς ὀφθαλμοῖς τῶν ἠπατημένων.

5. Καὶ προσαχθείσης αὐτῷ, εὐλογήσας ὕδωρ, καὶ ἀπὸ κορυφῆς ἐπιχέας αὐτῇ γυμνῇ, καὶ εὐχὴν ποιήσας ἐπὶ τὴν κεφαλήν, ἰάσατο αὐτήν, καὶ παραχρῆμα ἐφάνη πᾶσι γυνὴ κατὰ φύσιν, καὶ ἐκέλευσεν αὐτῇ δοθῆναι φαγεῖν.

6. Ὑπέθετο δὲ αὐτῇ ὁ τοῦ Θεοῦ ἄνθρωπος εἰπών· μηδέποτε ἀπολειφθῇς τῆς Ἐκκλησίας καὶ τῆς κοινωνίας τῶν τοῦ Χριστοῦ Μυστηρίων· τοῦτο γάρ σοι συνέβη διὰ τὸ ἐπὶ πέντε ἑβδομάδας μὴ προσεληλυθέναι τοῖς Ἀχράντοις Μυστηρίοις· οὕτως ἰασάμενος αὐτὴν σώματι καὶ ψυχῇ, ἀπέλυσεν αὐτούς.

Ἑρμηνεία

ΕΝΑΣ ἄσωτος ἄνθρωπος ἀπὸ τὴν Αἴγυπτον ἐρωτεύθη μίαν ὕπανδρον γυναῖκα, σώφρονα καὶ ἠθικήν. Ἐπειδὴ ὅμως ἀπέτυχε τοῦ σκοποῦ του, ἐπεσκέφθη ἕνα μάγον, εἰς τὸν ὁποῖον εἶπε:

—Χρησιμοποίησε τὴν μαγικήν σου τέχνην, ἢ διὰ νὰ μὲ ἀγαπήσῃ, ἢ διὰ νὰ τὴν ἐκδιώξῃ ὁ σύζυγός της.

Ὁ μάγος, καίτοι ἐπῆρεν ἀρκετὰ χρήματα, δὲν ἠμπόρεσε μὲ τὰς γοητείας του νὰ μεταστρέψῃ τὸν σώφρονα νοῦν της. Δι' αὐτό, μὲ τὰς μαγείας του, τὴν κάμνει νὰ φαίνεται, εἰς ὅσους τὴν ἔβλεπον, ὡς φοράδα.

2. Ὅταν ἐπέστρεψεν ἀπὸ τὴν ἐργασίαν του ὁ σύζυγός της καὶ τὴν βλέπει ὑπὸ τὸ σχῆμα τῆς φοράδος, ἤρχισε νὰ κλαίῃ καὶ νὰ θρηνῇ διὰ τὴν συμφοράν του. Καλεῖ τότε τοὺς Ἱερεῖς τοῦ χωρίου καὶ τοὺς δεικνύει τὴν μετασχηματισθεῖσαν εἰς φοράδα σύζυγόν του· ἀλλὰ οὔτε καὶ αὐτοὶ ἠδυνήθησαν νὰ καταλάβουν τίποτε ἀπὸ τὸ περίεργον αὐτὸ γεγονός. Ἐπὶ τρεῖς ἡμέρας ἡ γυναίκα δὲν ἔφαγε τίποτε, ὁ δὲ δυστυχὴς σύζυγος ἐσκέπτετο τὶ νὰ πράξῃ. Κατὰ τὴν τρίτην ἡμέραν τοῦ ἦλθεν εἰς τὸν νοῦν ὁ Ἅγιος Μακάριος. Ἀμέσως τῆς ἔβαλε χαλινόν, καὶ τὴν ὡδήγησε πρὸς τὴν ἔρημον, εἰς τὸν Ἀββᾶν Μακάριον τὸν Αἰγύπτιον, τὸν ἄνθρωπον αὐτὸν τοῦ Θεοῦ.

3. Ὅταν ἔφθασε πλησίον τῆς Σκήτης, τὸν ἐρωτοῦν οἱ ἀδελφοί:

—Διατί ἔφερες ἐδῶ αὐτὴν τὴν φοράδα;

—Διὰ νὰ ἐλεηθῇ ἀπὸ τὸν Θεὸν μὲ τὴν δύναμιν τῆς προσευχῆς τοῦ Ἁγίου—ἀπήντησεν ὁ σύζυγος:

—Καὶ τί κακὸν ἔχει πάθει;—ἠρώτησαν πάλιν.

Τότε ὁ σύζυγος τοὺς ἀποκαλύπτει τὴν ἀλήθειαν:

—Αὐτήν, ποὺ βλέπετε σεῖς ὡς φοράδα, εἶναι ἡ δυστυχισμένη σύζυγός μου· ἀλλ' οὔτε καὶ ἐγὼ γνωρίζω τί συνέβη εἰς αὐτήν.

4. Ἐν τῷ μεταξὺ ὁ Θεὸς εἶχεν ἀποκαλύψει εἰς τὸν Ἅγιον Μακάριον ὅσα συνέβησαν μὲ αὐτὴν τὴν γυναῖκα, ὁ δὲ Ἅγιος παρεκάλει τὸν Θεὸν ὑπὲρ αὐτῆς. Μερικοὶ ἐκ τῶν ἀδελφῶν ἀναφέρουν εἰς τὸν θεράποντα τοῦ Χριστοῦ Μακάριον:

—Κάποιος ἔφερε ἐδῶ μίαν φοράδα.

Ὁ Ἅγιος τοὺς ἀπαντᾷ:

—Σεῖς εἶσθε ἵπποι, ποὺ ἔχετε ὀφθαλμοὺς ἵππων. Ἐκείνη εἶναι γυναίκα, ὅπως ἐδημιουργήθη ἀρχικῶς ὑπὸ τοῦ Θεοῦ. Ἀπὸ φθόνον δὲ τοῦ διαβόλου μετασχηματίζεται εἰς τοὺς ὀφθαλμοὺς τῶν ἠπατημένων εἰς σχῆμα φοράδας.

5. Ἀφοῦ λοιπὸν ὁ σύζυγος ἔφερε κοντὰ τὴν τραγικῶς μετασχηματισθεῖσαν εἰς φοράδα γυναῖκα, ὁ Ἅγιος Μακάριος ηὐλόγησε νερὸ καὶ τὸ ἔχυσεν ἐπ' αὐτῆς, ἔτσι ὅπως ἦτο γυμνή, ἀπὸ τὴν κορυφήν, καὶ ἀφοῦ ἀνέγνωσεν ὡρισμένας εὐχὰς ἐπάνω εἰς τὴν κεφαλήν της, τὴν ἐθεράπευσεν· ἀμέσως τότε ἐφάνη εἰς ὅλους, ὅτι πράγματι ἦτο γυναίκα. Ὁ δὲ Ἅγιος διέταξε νὰ τῆς δοθῇ φαγητόν.

6. Μετὰ τὴν καταπληκτικὴν καὶ θαυμαστὴν αὐτὴν θεραπείαν ὁ ἄνθρωπος τοῦ Θεοῦ, ὁ Ἅγιος Μακάριος, τῆς ἔδωσε τὰς ἑξῆς συμβουλάς:

—Ποτὲ νὰ μὴ λείψῃς ἀπὸ τὴν Ἐκκλησίαν, καὶ νὰ μεταλαμβάνῃς συνεχῶς τῶν Ἀχράντων Μυστηρίων τοῦ Χριστοῦ. Μὴ λησμονήσῃς, ὅτι αὐτὸ σοῦ συνέβη, ἐπειδή, ἐπὶ πέντε ἑβδομάδας, δὲν προσῆλθες εἰς τὰ Ἄχραντα Μυστήρια.

Ἀφοῦ λοιπὸν ἐθεράπευσεν αὐτὴν ψυχικῶς καὶ σωματικῶς, τοὺς ἄφησε νὰ φύγουν διὰ τὸ χωρίον των.

Γ'.' Ἐξ ἐπιστολῆς τοῦ Ἁγίου Βασιλείου τοῦ Μεγάλου πρὸς Καισαρίαν Πατρικίαν.

«.. ΚΑΙ τὸ κοινωνεῖν δὲ καθ' ἑκάστην ἡμέραν, καὶ μεταλαμβάνειν τοῦ Ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ, καλὸν καὶ ἐπωφελές, Αὐτοῦ σαφῶς λέγοντος· «ὁ τρώγων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ Αἷμα, ἔχει ζωὴν αἰώνιον». Τίς γὰρ ἀμφιβάλλει ὅτι τὸ μετέχειν συνεχῶς τῆς ζωῆς οὐδὲν ἄλλο ἐστίν, ἢ τὸ ζῆν πολλαχῶς;»

2. «Ἡμεῖς μέντοι γε, τέταρτον καθ' ἑκάστην ἑβδομάδα κοινωνοῦμεν, ἐν τῇ Κυριακῇ, ἐν τῇ Τετράδι, ἐν τῇ Παρασκευῇ καὶ ἐν τῷ Σαββάτῳ· καὶ ἐν ταῖς ἄλλαις ἡμέραις, ἐὰν ᾖ μνήμη Ἁγίου τινός» (1).

1) Ἐν τῷ πρωτοτύπῳ «Εὐεργετινῷ» προστίθενται καὶ τὰ ἑξῆς: «ἐν αἷς,

Ἑρμηνεία

«.... ΚΑΙ ἡ καθημερινὴ μετάληψις τοῦ Ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ εἶναι καλὴ καὶ ὠφέλιμος, ἐφ' ὅσον ὁ ἴδιος Χριστὸς λέγει καθαρά· «ὁ τρώγων μου τὴν Σάρκα καὶ πίνων μου τὸ Αἷμα ἔχει ζωὴν αἰώνιον» (Ἰωάν. ς' 54). Διότι ποῖος δύναται νὰ ἀμφιβάλῃ, ὅτι ἡ συνεχὴς καὶ ἀδιάκοπος μετοχὴ τῆς Πηγῆς τῆς Ζωῆς, τῶν Ἀχράντων δηλαδὴ Μυστηρίων, δὲν εἶναι τίποτε ἄλλο, παρὰ μία δυνατότης νὰ ζῶμεν ἀπὸ πάσης ἀπόψεως»;

2. «Ἡμεῖς λοιπὸν μεταλαμβάνομεν τέσσαρας φορὰς τὴν ἑβδομάδα, ἤτοι κατὰ τὴν Κυριακήν, τὴν Τετάρτην, τὴν Παρασκευὴν καὶ τὸ Σάββατον. Ἀλλὰ καὶ κατὰ τὰς ἄλλας ἡμέρας μεταλαμβάνομεν, ὁσάκις τελεῖται μνήμη Ἁγίου τινός».

Δ'. Ἐν τῷ Βίῳ τοῦ Ἁγίου Εὐθυμίου.

ΕΝ ΤΗ Βηταγαβααίων πόλει οἰκῶν τις Ῥωμανὸς καλούμενος, εἶχεν ἀδελφὸν Πρεσβύτερον εὐλαβέστατον, Ἀχθάβιον τοὔνομα, ἐν τῇ Μονῇ τοῦ Ἁγίου Εὐθυμίου. Ἔζη δὲ ὁ Ῥωμανὸς ὑγρῶς τε καὶ ἀνειμένως καὶ ἀπεναντίως πάντη τῷ ἀδελφῷ.

2. Φθονήσας δέ τις τῷ Ῥωμανῷ τῆς οὐσίας, ἐφέδρευε κακούργως καὶ ὑφελέσθαι αὐτὴν ἐπειρᾶτο· τοῦ σκοποῦ δὲ διαμαρτών, εἶτα καὶ σφοδροτέρῳ κέντρῳ τὴν καρδίαν πληγείς, ἐν Ἐλευθεροπόλει γίνεται, καί τινα παραλαμβάνει γόητα κατ' αὐτοῦ, πολλοῦ τὴν τοῦ πλησίον βλάβην ὁ δείλαιος ὠνησάμενος.


3. Ὁ μὲν οὖν ὡς εἶχε ταῖς τέχναις ἐχρῆτο· ὁ Ῥωμανὸς δὲ οἷα τῶν γινομένων οὐδὲν προειδώς, ἐν ἀγρῷ διῆγεν, οὐδὲ μίαν ὅλως τῶν κακουργευμένων αὐτῷ φυλακὴν ἔχων. Καί τινι τὸ σῶμα νάρκῃ ληφθείς, τοῦ Θεοῦ τὸ πολὺ τῆς ῥαθυμίας ἐκκόπτοντος καὶ τὴν αὐτοῦ ψυχὴν πρὸς σπουδὴν ἐπανάγοντος, καὶ διὰ τοῦτο περιγενέσθαι αὐτοῦ ταῖς ἐκ τοῦ πονηροῦ μεθοδείαις βραχύ τι παραχωρήσαντος, τῷ οἴκῳ ἀνακομίζεται.

4. Εἶτα σφοδρότερον τοῦ κακοῦ κατασκήψαντος, ὁ μὲν ἔκειτο ὑδεριῶν, καὶ τὴν ἐσχάτην ἐκ τῆς τῶν ἰατρῶν τέχνης λαβὼν ἀπαγόρευσιν· οἱ δὲ προσήκοντες αὐτῷ καὶ φίλοι περιεκάθηντο, τὸ τελευταῖον ἀφιέντες ἐπ' αὐτῷ τοῦ χωρισμοῦ δάκρυον. Οὕτως οὖν βαρύτατα ἔχων ἐκεῖνος, καὶ αὐτὴν ἤδη τὴν τελευτὴν ἐκδεχόμενος, μόλις καὶ ὅσον ἀμυδρόν τι μόνον ἰδεῖν τὸ βλέμμα διάρας, δεῖται τῶν παρόντων ἐκχωρῆσαι μικρόν.

5. Μόνος οὖν αὐτὸς ἐπ' ἠρεμίας καταλειφθείς, καὶ πρὸς τὸν τοῖχον ἐπιστραφείς, καθάπερ Ἐζεκίας ἐκεῖνος ὁ μέγας ποτέ, τοιαῦτα ἐν συντριβῇ καρδίας προσηύχετο· «ὁ Θεὸς τῶν Δυνάμεων, ὁ εἰπὼν «ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ», Αὐτὸς ἐπίβλεψον ἐπ' ἐμέ, καὶ τῆς συνεχούσης με ταύτης ἀνάγκης καὶ

οἶμαι, καὶ ἐλειτούργει ὁ Ἅγιος, οὐ γὰρ καθ' ἑκάστην ἠδύνατο ὑπὸ τοσούτων φροντίδων ὀχλούμενος». Δηλαδή· «κατὰ τὰς ὁποίας, ὡς νομίζω, ἐλειτούργει ὁ Ἅγιος, διότι ἀπὸ τὰς πολλὰς (πνευματικὰς) φροντίδας, ποὺ τὸν ἀπησχόλουν, δὲν ἦτο δυνατὸν νὰ λειτουργῇ καθημερινῶς». Ταῦτα εἰς τὴν παροῦσαν ἔκδοσιν δὲν ἐτέθησαν ὡς εἶχον, ἐν συνεχείᾳ, δηλαδή, τοῦ κειμένου, ἀλλὰ μετηνέχθησαν ἐνταῦθα, διότι δὲν ἀνήκουσιν εἰς τὸν Μέγαν Βασίλειον. Πρόκειται δὲ μᾶλλον περὶ σημειώσεως, τοῦ ἐρανιστοῦ τοῦ ἀνὰ χεῖρας ἔργου Παύλου τοῦ Εὐεργετινοῦ.

Ὁ ἍΓΙΟΣ ΒΑΣΊΛΕΙΟΣ
(ἀσκητεύων)



συμφορᾶς ἐξελοῦ». Ἐν τοσούτῳ δὲ αὐτῷ εἰς νοῦν ἐπελθόν, καὶ τὸν Μέγαν Εὐθύμιον ἐκάλει κατὰ τοῦ πάθους, καὶ μεσίτην προσῆγε τὸν ἄνδρα Θεῷ, καὶ δι' αὐτοῦ τὴν ἀπαλλαγὴν ηὔχετο.

6. Εἶτα, ὥσπερ ἐν ἐκστάσει γενόμενος, ὁρᾷ τινα τὴν στολὴν Μοναχόν, τὴν τρίχα λευκόν, ἐπιστάντα, καί, τί βούλει ποιήσω σοι; λέγοντα. Καὶ ὁ μέν, δέει καὶ ἡδονῇ μερισθείς, φησί· τίς ἄρα σύ, Δέσποτα, εἶ; ἤρετο. Καὶ ὅς· Εὐθύμιος, ἔφη, ὃν ἔναγχος ἐκάλεις αὐτός, καὶ μηδὲν πρὸς τὴν ὄψιν μου ἀποδειλιάσῃς· ἀλλ' ἴδω, φησίν, ὅ,τι πάσχεις, καὶ τί σοι ἡ τοῦ σώματος κέχρηται συμφορά.

7. Τοῦ δὲ τὴν κοιλίαν ὑποδείξαντος, συζεύξας τοὺς δακτύλους αὐτοῦ εἰς ὀρθόν, καὶ τούτοις οἷα δὴ καὶ ξίφει χρησάμενος, τέμνει τὸ διφδηκὸς τῆς γαστρὸς ἐκεῖνο καὶ τὸ πάθος ἐκκρίνει, καὶ διαχέει, ἐξάγει τε τῆς γαστρὸς οἱονεὶ πέταλόν τι κασιτήρου πεποιημένον, χαρακτῆρας ἔχον τινάς, καὶ τοῦτο ἐπὶ τραπέζης τινὸς ὑπ' ὄψιν αὐτῷ τίθησιν· ἔπειτα καὶ τὴν τομὴν τῇ χειρὶ συνάψας καὶ ἀπαλείψας, ἀκέραιόν τε τὸ μέρος καὶ ὑγιὲς ἔθετο.

8. Ἅπαν δ' ἑξῆς αὐτῷ καταλέγει τὸ δρᾶμα· τὴν τῆς οὐσίας βασκανίαν, τὴν τοῦ γόητος μίσθωσιν, τὴν τῶν δαιμόνων ἐπίκλησιν· οὐκ ἂν δέ σου, φησίν, οὐδὲ οὕτως αἱ τοῦ ἐχθροῦ περιεγένοντο μηχαναί, εἰ μὴ αὐτὸς αὐτῷ τὰς λαβὰς παρέσχες· ἰδοὺ γὰρ τόσος ὁ μεταξὺ χρόνος, καὶ οὔτε εἰς Ἐκκλησίαν ἔγνως παραβαλεῖν, οὔτε τοῖς Ἀχράντοις προσελθεῖν Μυστηρίοις, ἀλλ' ἀμελῶς ἔζης, καὶ ἀμερίμνως τό γε εἰς τὴν ψυχὴν ἧκον τὴν σήν· ἐπεὶ τοίνυν ἔλεόν σοι πεποίηκεν ὁ Θεός, τοῦ λοιποῦ πρόσεχε σεαυτῷ, καὶ μηκέτι μηδαμῶς ἀμέλει τῆς σεαυτοῦ σωτηρίας.

9. Ταῦτα ἐπεὶ ὁ Ῥωμανὸς ἤκουσε, διανέστη τε εὐθὺς ὑγιής, τοῦ ὄγκου αὐτῷ ἤδη τοῦ περὶ τὴν γαστέρα διαπνευσθέντος, καὶ συγκαλέσαντος τοὺς ἐπιτηδείους, τὴν ἐπιστασίαν αὐτοῖς τοῦ Ἁγίου, καὶ τὴν ξένην ἐκείνην τῶν δακτύλων τομήν, καὶ πᾶσαν ἁπλῶς ἀπήγγειλε τὴν ὄψιν, καὶ τὴν τῆς θαυματουργίας ἡμέραν, ἔκτοτε καὶ μέχρι τοῦ νῦν, ἑορτὴν μεγίστην ποιεῖται, καὶ δι' ἔτους ἀποδίδωσιν ἔτι τῷ Ἁγίῳ τὰς χάριτας.

Ἑρμηνεία

ΕΙΣ τὸν πόλιν Βηταγαβααίων κατοικοῦσε κάποτε ἕνας ἄνθρωπος ὀνομαζόμενος Ρωμανός· αὐτὸς εἶχεν ἕνα ἀδελφὸν εἰς τὴν Μονὴν τοῦ Ἁγίου Εὐθυμίου, ποὺ ἦτο Πρεσβύτερος καὶ ἐλέγετο Ἀχθάβιος. Ὁ Ρωμανὸς ἔζη μὲ μαλθακότητα καὶ ἀκολασίαν, τελείως ἀντίθετα πρὸς τὸν ἐνάρετον ἀδελφόν του.

2. Κάποιος λοιπὸν ἐφθόνησε τὸν Ρωμανὸν διὰ τὴν περιουσίαν του, παρεμόνευεν ὕπουλα, καὶ ἐπεδίωκε νὰ εὕρῃ τρόπον νὰ τὴν ἁρπάσῃ. Εἰς τὸν σκοπόν του κατ' ἀρχὴν ἀπέτυχε· μετὰ ὅμως περισσότερον ἐκέντησε τὴν καρδίαν του ἡ ἐπιθυμία τῆς ἁρπαγῆς τῆς περιουσίας. Πρὸς τοῦτο μεταβαίνει εἰς Ἐλευθερόπολιν καὶ παίρνει κοντά του κάποιον μάγον, μὲ τὸν ὁποῖον διεπραγματεύθη ἀκριβὰ τὸ κακὸν ποὺ ἐσκέπτετο κατὰ τοῦ Ρωμανοῦ.

3. Ὁ μάγος αὐτὸς ἔθεσεν εἰς ἐνέργειαν τὰς μαγικάς του τέχνας. Ὁ Ρωμανός, χωρὶς νὰ γνωρίζῃ τίποτε ἀπὸ ὅσα ἐγίνοντο εἰς βάρος του, παρέμενεν εἰς τὴν ἐξοχὴν καὶ δὲν ἐλάμβανε καμμίαν προφύλαξιν ἐναντίον τῶν κακῶν, ποὺ ἐμηχανορραφοῦντο διὰ νὰ τὸν καταστρέψουν. Ὁ δὲ Θεὸς παρεχώρησε νὰ καταβληθῇ, ἐπ' ὀλίγον, ἀπὸ τὰ τεχνάσματα, ποὺ ἐμπνέει ὁ διάβολος, διὰ νὰ διορθώσῃ τὴν ψυχήν του

ἀπὸ τὸ βάρος τῆς πολλῆς πνευματικῆς ἀδιαφορίας, τῆς ραθυμίας, καὶ νὰ τοῦ ἐμπνεύσῃ σπουδὴν μετανοίας καὶ διορθώσεως· οὕτω μίαν ἡμέραν κατελήφθη ἀπὸ ἕνα εἶδος νάρκης τοῦ σώματος, καὶ μεταφέρεται ἐπειγόντως εἰς τὸν οἶκον του.

4. Μετ' ὀλίγον τὸ κακὸν ἐπιτείνεται μετὰ σφοδρότητος καὶ ὁ ἀσθενὴς ἐσχημάτισεν εἰς τὴν κοιλίαν του ὑγρόν. Ἡ ἰατρικὴ τεχνη εἰς οὐδὲν πλέον ἠδύνατο νὰ τὸν βοηθήσῃ. Οἱ φίλοι του καὶ οἱ συγγενεῖς, χωρὶς νὰ δύνανται νὰ τὸν ἀνακουφίσουν, ἐκάθηντο γύρω ἀπὸ τὴν κλίνην του, χύνοντες τὰ τελευταῖα δάκρυα διὰ τὸν ἐπικείμενον χωρισμόν. Ἀφοῦ λοιπὸν ὁ Ρωμανὸς ἐβάρυνε τόσον πολύ, ὥστε νὰ ἀναμένεται πλέον ὁ θάνατός του, ἀνοίγει μετὰ βίας τοὺς ὀφθαλμούς του, ὅσον τοῦ ἦτο ἀπαραίτητον διὰ νὰ ἴδῃ καὶ παρακαλεῖ, διὰ νεύματος, τοὺς παρόντας νὰ φύγουν καὶ νὰ τὸν ἀφήσουν μόνον εἰς τὸ δωμάτιον.

5. Ὅταν ἔμεινε μόνος του, ἠρέμησεν ἐπ' ὀλίγον, καὶ στρεφόμενος πρὸς τὸν τοῖχον, ὅπως κάποτε ὁ μέγας ἐκεῖνος Ἐζεκίας (Δ΄ Βασιλ. κ΄ 2), προσηύχετο μὲ συντριβὴν καρδίας ὡς ἑξῆς· «ὁ Θεὸς τῶν Δυνάμεων, ὅστις εἶπες, ὅτι «ὅταν μετανοήσῃς καὶ βοήσῃς μετὰ στεναγμῶν (εἰς τὸν Θεόν), τότε θὰ σωθῇς» (Ἡσ. λ΄ 15), Αὐτός, Κύριε, ἐπίβλεψον εἰς ἐμὲ καὶ ἀπολύτρωσέ με ἀπὸ αὐτὴν τὴν ἀνάγκην καὶ συμφοράν, ποὺ μὲ κρατεῖ αἰχμάλωτον». Κατ' αὐτὴν τὴν στιγμὴν τῆς προσευχῆς ἦλθεν εἰς τὸν νοῦν του ἡ σκέψις νὰ καλέσῃ πρεσβευτὴν τῶν εἰς Θεὸν δεήσεων του καὶ τὸν Μέγαν Εὐθύμιον, τὸν ὁποῖον, καὶ πράγματι, μετὰ θερμότητος παρακαλεῖ νὰ τὸν ἀπαλλάξῃ ἀπὸ αὐτὸ τὸ φοβερὸν πάθος.

6. Μετ' ὀλίγον περιέπεσεν εἰς ἔκστασιν καὶ βλέπει κάποιον ἀσπρομάλλην μὲ μοναχικὰ ἐνδύματα νὰ τὸν ἐπισκέπτεται καὶ νὰ τοῦ λέγῃ;

—Τί θέλεις νὰ σοῦ κάμω;

Ὁ ἀσθενὴς τότε μὲ φόβον καὶ χαρὰν ἠρώτησε:

—Ποῖος εἶσαι σύ, Δέσποτα;

—Ὁ Εὐθύμιος—ἀπήντησεν ἐκεῖνος—τὸν ὁποῖον πρὸ ὀλίγου ἐφώναξες· μὴ φοβηθῇς καθόλου ἀπὸ τὴν παρουσίαν μου. Ἀλλὰ θὰ ἴδω, ἀμέσως τώρα, ἀπὸ τὶ πάσχεις καὶ ποίαν θεραπείαν ἔχει ἀνάγκην ἡ συμφορά σου αὐτή.

7. Ὁ Ρωμανὸς εἰς ἀπάντησιν ἔδειξε τὴν κοιλίαν του. Τότε ὁ Ἅγιος Εὐθύμιος, ἀφοῦ συνήνωσε τοὺς δακτύλους του καὶ ἐξέτεινε τὴν παλάμην, χρησιμοποιεῖ αὐτὴν ὡς ξίφος καὶ ἀνοίγει τὸ διωγκωμένον μέρος τῆς κοιλίας· ἀπὸ τὴν σχηματισθεῖσαν τομὴν βγαίνει καὶ σκορπᾷ τὸ νοσογόνον ὑγρόν, ποὺ προεκάλει τὸ πάθος καὶ ἕνα πέταλον, ὡς νὰ ἦτο κατεσκευασμένον ἀπὸ κασσίτερον, ποὺ εἶχε μερικὰ σημάδια. Τὸ περίεργον αὐτὸ ἀντικείμενον, ἀφοῦ τοῦ τὸ ἔδειξε, τὸ ἐτοποθέτησεν ἐπάνω εἰς ἕνα τραπέζι. Ἔπειτα συνενώνει μὲ τὴν χεῖρά του πάλιν τὰ χείλη τῆς τομῆς καὶ ἐξαλείφει τὰ σημάδια, ἀποκαθιστῶν οὕτω τὴν ἀκεραιότητα καὶ ὑγείαν εἰς τὴν νοσοῦσαν περιοχὴν τοῦ σώματος.

8. Ἀμέσως τότε τοῦ ἐξηγεῖ λεπτομερῶς ὅ,τι ἔγινεν εἰς βάρος

του, ποία ἦτο ἡ κατ' αὐτοῦ βασκανία, πῶς ἐπληρώθη ὁ μάγος διὰ νὰ κάμῃ τὸ κακόν, καὶ πῶς ἐπεκαλέσθη τοὺς δαίμονας διὰ τὴν ζημίαν καὶ καταστροφήν του. Καὶ συμπληρώνει ὁ Ἅγιος Εὐθύμιος: «παρ' ὅλα αὐτὰ δὲν θὰ σὲ ἐζημίωναν αἱ μηχαναὶ τοῦ διαβόλου, ἐὰν καὶ σὺ ὁ ἴδιος δὲν ἐξησφάλιζες εἰς τὸν διάβολον πατήματα· διότι τόσος ἔχει παρέλθει μέχρι σήμερον χρόνος καὶ οὔτε εἰς τὴν Ἐκκλησίαν ἐσκέφθης νὰ ἔλθῃς, οὔτε νὰ προσέλθῃς εἰς τὴν μετάληψιν τῶν Ἀχράντων Μυστηρίων, ἀλλ' ἔζης μὲ ἀμέλειαν καὶ ἀδιαφορίαν καθ' ὅσον ἀφορᾷ τὰ καθήκοντα πρὸς τὴν ψυχήν σου. Ἀφοῦ λοιπὸν σὲ ἐλυπήθη ὁ Θεὸς καὶ σὲ ἠλέησεν, ἀπὸ ἐδῶ καὶ πέρα πρόσεχε καὶ νὰ μὴ ἀμελῇς καθόλου διὰ τὴν ψυχικήν σου σωτηρίαν».

9. Ὅταν ἤκουσεν αὐτὰ ὁ Ρωμανὸς ἐσηκώθη ἀμέσως ἀπὸ τὸ κρεββάτι του τελείως ὑγιής, ἐξαφανισθέντος παντελῶς τοῦ ὄγκου ποὺ εἶχεν εἰς τὴν κοιλίαν του. Ἀμέσως τότε φωνάζει πλησίον του τοὺς συγγενεῖς καὶ φίλους καὶ τοὺς διηγεῖται λεπτομερῶς τὴν ἐπίσκεψιν τοῦ Ἁγίου Εὐθυμίου, τὴν θαυμαστὴν τομὴν τοῦ ὄγκου, ποὺ ἐπέφερεν ὁ Ἅγιος μὲ τὰ δάκτυλα, καὶ ἐν γένει ὅλην τὴν ὀπτασίαν καὶ τὸ θαῦμα. Ἀπὸ τότε ἰδιαιτέρως ἐτίμα καὶ ἑώρταζε τὴν ἡμέραν, ποὺ ἔγινε τὸ θαῦμα, ἐν ὅσῳ ἔζη, ἀποδίδων οὕτω, κατ' ἔτος, εἰς τὸν Ἅγιον τὴν ὀφειλομένην τιμὴν καὶ εὐγνωμοσύνην.

Ε'. Παλλαδίου.

ΤΟΥΣ κατὰ τὴν ἔρημον Πατέρας περιοδεύσαντες, ἤλθομεν καὶ εἴς τινα Ἅγιον ἄνδρα, Ὢρ καλούμενον, ὃς ἦν Πατὴρ Μοναστηρίων χιλίων ἀδελφῶν· ὃς ἰδὼν ἡμᾶς, καὶ περιχαρὴς γενόμενος, ἠσπάσατο καὶ ὑπερηύξατο, νίψας τοὺς πόδας ἡμῶν οἰκείαις χερσίν, ἱκανῶς ὡμίλησεν ἡμῖν, διδάσκων ἐκ τῶν θείων Γραφῶν· ἦν γὰρ ὁ ἀνὴρ θεοδίδακτος.

2. Εἶτα ἐπὶ τὰς εὐχὰς προετρέψατο, ἔθος γὰρ ἦν αὐτῷ, μὴ πρότερον προσίεσθαι τροφὴν τῇ σαρκί, πρὶν ἢ τὴν πνευματικὴν τροφὴν τῇ ψυχῇ παραδοῦναι, ἥτις ἐστὶν ἡ Κοινωνία τῶν τοῦ Χριστοῦ Μυστηρίων. Ταύτης καὶ ἡμᾶς σὺν αὐτοῖς μεταλαβόντας καὶ εὐχαριστήσαντας, ἐπὶ τὴν τράπεζαν παρεκάλει, ἧς συμμετέσχεν ἡμῖν καὶ αὐτός, ἐν τῷ μεταξὺ τῷ τῆς διδασκαλίας λόγῳ τρέφων ἡμῶν τὰς ψυχάς.

Ἑρμηνεία

ΕΠΙΣΚΕΦΘΕΝΤΕΣ, ἀπὸ εὐλάβειαν, τοὺς διαφόρους Ἐρημίτας, ἤλθομεν καὶ εἰς ἕνα Ἅγιον ἄνδρα, ποὺ ἐλέγετο Ὢρ καὶ ἦτο Πνευματικὸς πατὴρ καὶ Ἡγούμενος Μοναστηρίων, εἰς τὰ ὁποῖα ἠσκοῦντο περὶ τοὺς χιλίους Μοναχούς. Ὁ Ἅγιος αὐτὸς Ἀσκητής, μόλις μᾶς εἶδεν, ἐχάρη πάρα πολύ, μᾶς ἠσπάσθη καὶ μᾶς ηὐχήθη μὲ τὸ πάρα πάνω. Ἐν συνεχείᾳ ἔπλυνε τοὺς πόδας μας μὲ τὰς ἰδίας του τὰς χεῖρας, καὶ μᾶς ἐνουθέτησεν ἀρκετά, ἐπὶ τῇ βάσει τῆς Ἁγίας Γραφῆς, διότι ὁ Ἅγιος αὐτὸς Ἀσκητὴς ἦτο θεοδίδακτος.

2. Μετὰ ταῦτα μᾶς προέτρεψε νὰ ἀναγνώσωμεν τὰς εὐχὰς τῆς

θείας Μεταλήψεως, διότι εἶχε συνήθειαν νὰ μὴ γεύεται ἐνωρίτερον ὑλικὴν τροφὴν διὰ τὸ σῶμα του, πρὶν ἐξασφαλίση εἰς τὴν ψυχὴν τὴν πνευματικὴν τοιαύτην, ἡ ὁποία εἶναι ἡ Κοινωνία τῶν Ἀχράντων τοῦ Χριστοῦ Μυστηρίων. Ἀφοῦ λοιπὸν καὶ ἡμεῖς μαζὶ μὲ αὐτούς, τοὺς ἀδελφοὺς τῆς συνοδίας τοῦ Ἀββᾶ Ὢρ, μετελάβομεν τῶν Ἀχράντων Μυστηρίων καὶ ηὐχαριστήσαμεν τὸν Θεὸν διὰ τὴν δωρεάν Του αὐτήν, μᾶς προσεκάλεσεν εἰς τὴν τράπεζαν, εἰς τὴν ὁποίαν ἔλαβε καὶ αὐτὸς μέρος, ἐκτρέφων ἐν τῷ μεταξὺ τὰς ψυχὰς ἡμῶν μὲ τὸν λόγον τῆς διδασκαλίας.

ϛ΄. Τοῦ Ἀββᾶ Κασσιανοῦ τοῦ Ρωμαίου.

ΤΩ ΑΒΒΑ Σερίνῳ ἐν τῇ Σκήτει παραβαλόντες, ἀνδρὶ Ἁγίῳ καὶ θεοφόρῳ, μετὰ καὶ ἄλλας τινὰς ὁμιλίας ψυχωφελεῖς, ἠρωτήσαμεν αὐτὸν καὶ περὶ τῶν ἐνεργουμένων, εἰπόντες· διατὶ ἐν τῇ ἡμετέρᾳ χώρᾳ τῶν ἐνεργουμένων καταφρονοῦσι, καὶ οὐδὲ προσεγγίζειν αὐτοῖς θέλουσιν, ἀλλὰ φοβοῦνται αὐτοὺς καὶ ἐκτρέπονται; Καὶ τῆς Δεσποτικῆς δὲ Κοινωνίας διηνεκῶς ἀπείργουσι, τὴν Κυριακὴν φωνὴν εἰς μαρτυρίαν προσάγοντες, τὴν κελεύουσαν· «μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶ μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων».

2. Ὁ δὲ Γέρων ἀποκριθεὶς εἶπεν ἡμῖν· εἰ πιστεύομεν ὅτι πάντα τὰ γινόμενα οὐκ ἄνευ Θεοῦ γίνονται, ἀλλὰ καὶ αἱ θλίψεις καὶ οἱ πειρασμοὶ πρὸς τὸ συμφέρον οἰκονομοῦνται τῶν ἡμετέρων ψυχῶν, οὐ μόνον οὐ καταφρονήσομεν τῶν πασχόντων, ἀλλὰ καὶ συμπαθήσομεν αὐτοῖς ὡς οἰκείοις μέλεσι, καὶ ὑπὲρ τούτων ἐσόμεθα ἀεὶ θερμῶς τοῦ Θεοῦ δεόμενοι, ἀνεχόμενοι αὐτῶν ἐν πολλῇ ἀγάπῃ καὶ εὐσπλαγχνίᾳ· καθὼς καὶ ὁ Ἀπόστολος διδάσκει λέγων· «καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη».

3. Τὴν δὲ Ἁγίαν Κοινωνίαν ἀπὸ τούτων οὐδέποτε μεμάθηκα κωλυθεῖσαν ὑπὸ τῶν ἡμετέρων Γερόντων, ἀλλὰ καὶ εἰ δυνατὸν ἦν, καθ' ἡμέραν αὐτοῖς ταύτην χορηγεῖσθαι, καὶ τὸ Εὐαγγελικὸν ῥητὸν οὐχ ἁρμοδίως ἐκλαμβάνεσθαι, «μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶ» κελεῦον, ὃ οὐ περὶ τῆς Ἁγίας Κοινωνίας, ἀλλὰ περὶ τῆς διδασκαλίας καὶ ἀναπτύξεως τῶν ὑψηλοτέρων δογμάτων εἰρηκέναι τὸν Χριστὸν λέγομεν.

4. Οὐ γὰρ πρὸς τροφὴν τοῦ δαίμονος τὰ Ἅγια δίδονται, τοῦ ἐνεργουμένου μεταλαμβάνοντος, ἀλλὰ μᾶλλον πρὸς καθαρισμὸν τῆς τε ψυχῆς καὶ τοῦ σώματος, καὶ πρὸς κατάφλεξιν τοῦ πονηροῦ πνεύματος, τοῦ ἐγκαθημένου τοῖς τοῦ σώματος μέλεσιν, ὅπερ διὰ τῆς μεταλήψεως τῶν Ἁγιασμάτων ὡς ὑπὸ πυρὸς ἐμπιπράμενον φυγαδεύεται· τούτῳ γὰρ τῷ τρόπῳ καὶ τὸν Ἀββᾶν Ἀνδρόνικον πρὸ βραχέος καιροῦ θεραπευθέντα ἔγνωμεν, καὶ ἄλλους πολλούς.

5. Εἰ οὖν πάντα τὸν ἐνεργούμενον τῆς τῶν Ἁγιασμάτων μεταλήψεως ἀπείρξομεν, γαυριᾶν παρέχομεν τῷ καταπονοῦντι αὐτῷ δαίμονι, καὶ παρασκευάζομεν τοῦτον συνεχέστερον καὶ βαρύτερον ἐπιτίθεσθαι τῷ ἀνθρώπῳ, ὡς πλέον χωριζομένῳ τῆς ἄνωθεν βοηθείας, ἧς ἐκ τῆς Ἁγίας Κοινωνίας ἐτύγχανεν.

6. Οὐ δεῖ οὖν τοὺς ἀκουσίως ἐνεργουμένους ὑπὸ δαιμόνων τῆς ἐκ τῶν Ἁγιασμάτων σκέπης ἀποχωρίζειν, ἀλλὰ τοὺς ἑκουσίως ἑαυτοὺς ἐκδιδόντας τοῖς ἁμαρτήμασι, καὶ διὰ τῶν ἀκαθάρτων πράξεων δαιμονῶντας.

7. Οἳ τοσοῦτον ἐκείνων εἰσὶν ἀθλιώτεροι, ὅσον καὶ τοὺς ἐνεργοῦντας ἐν αὐτοῖς δαίμονας λανθάνοντας καὶ οὐχ ὁρωμένους ἔχουσιν, οὔτε μάστιγός τινος ἀξιοῦνται πρὸς θεραπείαν τῆς κακίας αὐτῶν, ἀλλ' ἡ σκληρὰ καὶ ἀμετανόητος αὐτῶν καρδία θησαυρίζει αὐτοῖς «ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δι-

καιοκρισίας τοῦ Θεοῦ», ἔνθα «ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται».

Ἑρμηνεία

ΚΑΠΟΤΕ (διηγεῖται ὁ Ἀββᾶς Κασσιανὸς) ἐπεσκέφθημεν εἰς τὴν Σκήτην τὸν Ἀββᾶν Σερῖνον, ἄνδρα Ἅγιον καὶ θεοφόρον. Κατὰ τὴν συζήτησιν, μεταξὺ ἄλλων ψυχωφελῶν θεμάτων, τὸν ἠρωτήσαμεν διὰ τὴν ὑπόθεσιν τῶν δαιμονιζομένων.

—Γέροντα—εἴπομεν—διατὶ εἰς τὴν χώραν μας περιφρονοῦν τοὺς δαιμονιζομένους καὶ οὔτε νὰ τοὺς πλησιάσουν θέλουν, ἀλλὰ τοὺς φοβοῦνται καὶ τοὺς ἀποφεύγουν; Ἐπὶ πλέον δὲν τοὺς ἐπιτρέπουν ποτὲ νὰ μεταλάβουν τῶν Ἀχράντων Μυστηρίων· τὴν ἀπαγόρευσιν δὲ αὐτὴν δικαιολογοῦν μὲ τοὺς λόγους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ποὺ διατάσσει· «νὰ μὴ δίδωμεν τὸ ἅγιον εἰς τοὺς κύνας, οὔτε νὰ τοποθετῶμεν τοὺς μαργαρίτας ἐμπρὸς εἰς τοὺς χοίρους» (Ματθ. ζ' 6).

2. Εἰς αὐτὰς τὰς ἀπορίας ἡμῶν ὁ Γέρων ἀπήντησεν ὡς ἑξῆς:

—Ἐὰν πιστεύωμεν, ὅτι ὅλα ὅσα συμβαίνουν, δὲν γίνονται χωρὶς τὸ θέλημα τοῦ Θεοῦ, ἀλλὰ καὶ αἱ θλίψεις καὶ οἱ πειρασμοὶ οἰκονομοῦνται πρὸς τὸ συμφέρον τῶν ψυχῶν μας, τότε ὄχι μόνον δὲν πρέπει νὰ περιφρονήσωμεν τοὺς πάσχοντας, ἀλλ' ἀπ' ἐναντίας νὰ τοὺς συμπαθήσωμεν ὡς μέλη ἀνήκοντα εἰς τὸ σῶμα μας, ὑπὲρ αὐτῶν πρέπει διαρκῶς καὶ μετὰ θερμότητος νὰ παρακαλῶμεν τὸν Θεὸν καὶ νὰ τοὺς ὑπομένωμεν μὲ πολλὴν ἀγάπην καὶ εὐσπλαγχνίαν. Ἡ συμπεριφορὰ ἡμῶν αὐτὴ εἶναι σύμφωνος καὶ μὲ τὴν διδασκαλίαν τοῦ Ἀποστόλου, ποὺ λέγει· «καὶ ἐὰν πάσχῃ ἕνα μέλος, πάσχουν μαζὶ μὲ αὐτὸ ὅλα τὰ μέλη» (Α' Κορ. ιβ' 26).

3. Ὅσον ἀφορᾷ τὴν πρὸς τοὺς δαιμονιζομένους προσφορὰν τῶν τιμίων Δώρων, οὐδέποτε ἔχω μάθει ἀπὸ τοὺς Γέροντάς μου, ὅτι ἐμποδίζεται, ἀλλ' ἀπ' ἐναντίας μάλιστα· ἐὰν ἦτο δυνατὸν νὰ ἐχορηγῆτο πρὸς αὐτοὺς ἡ θεία Μετάληψις καθημερινῶς. Τὸ εὐαγγελικὸν δὲ ρητόν, ποὺ ἀνεφέρατε, δὲν τὸ ἀντιλαμβάνεσθε καλῶς, διότι δὲν ἔχει οὐδεμίαν ἐφαρμογὴν ἐπὶ τοῦ προκειμένου· ὅταν ὁ Κύριος διατάσσῃ «νὰ μὴ δίδωμεν τὸ ἅγιον εἰς τοὺς κύνας» (Ματθ. ζ' 6), δὲν ὑπονοεῖ τὴν Ἁγίαν Κοινωνίαν, ἀλλ' ἔχει λεχθῆ ἀπὸ τὸν Χριστὸν περὶ τῆς Χριστιανικῆς διδασκαλίας καὶ τῆς ἀναπτύξεως τῶν ὑψηλοτέρων τοῦ Χριστιανισμοῦ δογμάτων.

4. Διότι τὰ Ἅγια δὲν δίδονται ὡς τροφὴ τοῦ δαίμονος, ὅταν μεταλαμβάνῃ ὁ δαιμονιζόμενος, ἀλλὰ πρὸς καθαρισμὸν ἀσφαλῶς τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ πρὸς κατάφλεξιν τοῦ πονηροῦ πνεύματος, ποὺ ἐγκατεστάθη εἰς τὰ μέλη τοῦ σώματος τοῦ δαιμονιζομένου· αὐτὸ δὲ τὸ πονηρὸν πνεῦμα διὰ τῆς μεταλήψεως τῶν τιμίων Δώρων φεύγει, ὡς νὰ καίεται ἀπὸ φωτιάν. Μὲ τὸν τρόπον αὐτόν, διὰ τῆς θείας Με-

ταλήψεως δηλαδή, πρὸ ὀλίγου καιροῦ ἐθεραπεύθη ὁ Ἀββᾶς Ἀνδρόνικος καὶ πολλοὶ ἄλλοι.

5. Ἐὰν λοιπὸν διαρκῶς ἐμποδίζωμεν τὸν δαιμονιζόμενον ἀπὸ τὴν μετάληψιν τῶν Ἁγιασμάτων, δίδομεν τὴν εὐκαιρίαν εἰς τὸν κατατυραννοῦντα αὐτὸν δαίμονα νὰ ἀποθρασύνεται καὶ τὸν προετοιμάζομεν ὥστε τακτικώτερα καὶ σκληρότερα νὰ ἐπιτίθεται κατὰ τοῦ ἀνθρώπου, ἐπειδὴ περισσότερον ἀποχωρίζεται ἀπὸ τὴν ἄνωθεν βοήθειαν, τὴν ὁποίαν ἐξησφάλιζε διὰ τῆς Ἁγίας Κοινωνίας.

6. Δὲν πρέπει λοιπὸν αὐτούς, ποὺ παρὰ τὴν θέλησίν των ἐνεργοῦνται ὑπὸ τοῦ δαίμονος, τοὺς δαιμονιζομένους δηλαδή, νὰ τοὺς ἀποχωρίζωμεν ἀπὸ τὴν εὐεργετικὴν καὶ θεραπευτικὴν σκέπην τῶν Ἁγιασμάτων, ἀλλὰ μόνον ἐκείνους, ποὺ θεληματικῶς παραδίδονται εἰς τὰ ἁμαρτήματα καὶ συμπεριφέρονται ὡς δαίμονες μὲ τὰς ἀκαθάρτους αὐτῶν πράξεις.

7. Οἱ τοιοῦτοι εἶναι ἐπὶ τοσοῦτον ἀθλιώτεροι τῶν δαιμονιζομένων, καθ᾽ ὅσον οἱ κατευθύνοντες τὰς πράξεις των δαίμονες ἐνεργοῦν εἰς αὐτοὺς κρυφίως, χωρὶς νὰ φαίνωνται καὶ οὔτε ἀξιώνονται μιᾶς τιμωροῦ μάστιγος διὰ νὰ θεραπεύσουν τὴν κακίαν των· ἀλλ᾽ ἡ σκληρὰ καὶ ἀμετανόητος αὐτῶν καρδία θησαυρίζει εἰς αὐτοὺς «ὀργὴν κατὰ τὴν ἡμέραν τῆς ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ» (Ρωμ. β΄ 5), «ὅπου ὁ (τιμωρῶν αὐτοὺς) σκώληξ δὲν θὰ ἀποθάνῃ, καὶ τὸ καταφλέγον αὐτοὺς πῦρ δὲν θὰ κατασβεσθῇ» (Μάρκ. θ΄ 44).





·:ὙΠΟΘΕΣΙΣ ΛΕ΄:·

Ὅτι δεῖ τὸν ἐν ἐπιτιμίῳ ὄντα καὶ μὴ μεταλαμβάνοντα ἐν τῇ θείᾳ συνάξει, σὺν τοῖς κατηχουμένοις τῆς Ἐκκλησίας ἐξέρχεσθαι.

Αὐτὸς ποὺ εὑρίσκεται ὑπὸ ἐπιτίμιον καὶ δὲν μεταλαμβάνει, κατὰ τὴν Θείαν Λειτουργίαν πρέπει νὰ ἐξέρχεται ἐκ τοῦ Ναοῦ μαζὶ μὲ τοὺς κατηχουμένους.



Α΄. Γρηγορίου τοῦ Διαλόγου.



ΔΥΟ τινὲς παρθένοι Ἀσκήτριαι, εὐγενεστάτου γένους οὖσαι, ἐν τῷ οἴκῳ αὐτῶν ἀνεστρέφοντο, οὐ μακρὰν οὖσαι τοῦ Μοναστηρίου τοῦ μακαρίου Βενεδίκτου· ἀνὴρ δέ τις σπουδαῖος καὶ εὐλαβὴς ᾠκονόμει τὰ κατὰ τὸν οἶκον αὐτῶν, ὃν καθ᾽ ἑκάστην ἐκεῖναι, ἐπηρμέναι τῇ εὐγενείᾳ, λοιδορίαις καὶ ὕβρεσι μάτην ἔβαλλον.

2. Ἐκεῖνος οὖν οὐκέτι στέγων τὴν ὑπερβάλλουσαν αὐτῶν ἀτιμίαν, πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον Βενέδικτον παρεγένετο, καὶ τὰς τῶν παρθένων ὕβρεις αὐτῷ ἀνήγγειλεν. Ὁ δὲ ἐδήλωσεν αὐταῖς λέγων· διορθώσατε ἑαυτάς, καὶ τὴν γλῶσσαν ὑμῶν σωφρονήσατε· ἐπεί, ἐὰν μὴ διορθώσησθε, ἀκοινωνήτους ὑμᾶς ποιῶ· τοῦτο δὲ οὐχ ὡς δεσμῶν αὐτὰς εἶπεν, ἀλλὰ διορθώσασθαι ταύτας βουλόμενος μόνον ἠπείλησεν.

3. Ἐκεῖναι δέ, μηδένα λόγον τῆς τοῦ Ἁγίου ποιησάμεναι παραινέσεως, τῆς οἰκείας ἀφροσύνης ἀποστῆναι οὐκ ἠθέλησαν. Μετὰ οὖν ἡμέρας ὀλίγας ἀμφότεραι τέλει τοῦ βίου ἐχρήσαντο, καὶ ἐν τῇ Ἐκκλησίᾳ ἐτάφησαν.

4. Ἡνίκα δὲ ἐν τῇ Ἐκκλησίᾳ αἱ συνάξεις τῆς θείας Λειτουργίας ἐπετελοῦντο, καὶ κατὰ τὸ σύνηθες ὁ Διάκονος ἔκραζεν, εἴ τις οὐ κοινωνεῖ ἐξερχέσθω τῆς Ἐκκλησίας, ἡ τροφὸς τῶν ῥηθεισῶν παρθένων, ἥτις ὑπὲρ αὐτῶν συνήθως προσφορὰν τῷ Κυρίῳ προσέφερε, τὰς αὐτὰς δύο παρθένους ἐκ τῆς Ἐκκλησίας ἐξερχομένας ἐθεώρει.

5. Ὡς δὲ πολλάκις τοῦτο γινόμενον ἐθεάσατο, καὶ ἐν τῇ τοῦ Διακόνου ἐκφωνήσει ἐκείνας ἐξερχομένας καὶ ἐν τῇ Ἐκκλησίᾳ μένειν μὴ δυναμένας, εἰς μνήμην ἐλθοῦσα, ὅτιπερ ὁ τοῦ Θεοῦ ἄνθρωπος ἔτι ζώσαις αὐταῖς ἐδήλωσε, καὶ τῶν θείων Μυστηρίων ταύτας στερῆσαι ἠπείλησεν, εἰ μὴ αὐτὰς βελτιώσουσι, μετὰ σπουδῆς πρὸς τὸν θεῖον Βενέδικτον παραγίνεται, καὶ τοῖς ποσὶν αὐτοῦ προσπεσοῦσα, τὴν φρικτὴν ἐκείνην θεωρίαν ἀνήγγειλεν.

6. Ὁ δὲ ὑπὸ τῆς ἐνούσης αὐτῷ συμπαθείας κινηθείς, λαβὼν προσφοράν, δέδωκε τῇ τροφῷ, εἰπών· ἄπελθε καὶ τὴν προσφορὰν ταύτην ὑπὲρ αὐτῶν τῷ Κυρίῳ προσενεχθῆναι ποίησον, καὶ τοῦ λοιποῦ οὐκ ἔσονται ἀκοινώνητοι.

7. Τῆς τοίνυν προσφορᾶς ὑπὲρ αὐτῶν προσενεχθείσης τῷ Κυρίῳ, καὶ τοῦ Διακόνου κατὰ τὸ σύνηθες κράζοντος, ἵνα οἱ μὴ μεταλαμβάνοντες ἐξέλθωσι τῆς Ἐκκλησίας, οὐκέτι λοιπὸν ἐκεῖναι ἐθεωρήθησαν ὑπὸ τῆς τροφοῦ, τῆς Ἐκκλησίας ἐκβαίνουσαι.

8. Ὁμοίως καὶ περὶ τοῦ ἀσπασμοῦ γέγραπται ἐν τῷ βίῳ τῆς Ὁσίας Ματρώνης, ὅτι ταύτης τῷ τοῦ Ὁσίου Βασιανοῦ Σεμνείῳ προσελθούσης, ἐν τῷ τὸν εὐνοῦχον προσποιηθῆναι, καὶ εἰσδεχθείσης, καὶ χρόνον οὐκ ὀλίγον συνασκησάσης τοῖς Μοναχοῖς καὶ λανθανούσης, ὕστερον τὰ κατ' αὐτὴν δῆλα τῷ μεγάλῳ Βασιανῷ γίνεται, ἔκ τινος θείας ἀποκαλύψεως.

9. Ὁ δὲ μετακαλεσάμενος ταύτην, καὶ δριμὺ ἐνατενίσας, τί τὸ παρασκευάσαν σε γύναιον, ἔφη, τηλικοῦτον καθ' ἡμῶν ὑπελθεῖν τόλμημα, καὶ κατ' οὐδὲν ἡμῖν προσήκοντα πειρασμόν, καὶ ὄνειδος ἐπιτρίψασθαι, τὴν λαθεῖν τοσοῦτον χρόνον ἐπιτηδεύσασαν;

10. Ἡ δὲ τὸ λεχθὲν συνεῖσα, καταβάλλει μὲν ἑαυτὴν εὐθὺς εἰς τὸ ἔδαφος, τῶν τοῦ Ὁσίου ποδῶν ἐπιλαβομένη, λόγους πολὺ μὲν τὸ ταπεινὸν ἔχοντας, μόλις δὲ ὑποφθεγγομένους προΐει, οὐ πειρασμόν, ὦ δέσποτα, ἐπαγαγεῖν βουλομένη τῇ σῇ ποίμνῃ ἐμαυτὴν ἐγκατέλεξα, ἀλλὰ τὸν ἀπὸ τῶν ἐναντίων μᾶλλον φεύγουσα πειρασμόν, καὶ τὰς ἐν τῷ βίῳ πάγας ἐκκλίνουσα.

11. Πρὸς ἣν ἄρα ὁ Βασιανὸς ἀπεκρίνατο· πῶς δὲ καὶ γυνὴ τυγχάνουσα, τοῖς θείοις Μυστηρίοις γυμνῇ προσήρχου τῇ κεφαλῇ, καὶ τῷ πρὸς εἰρήνην ἀσπασμῷ τὸ στόμα τοῖς ἀδελφοῖς ἀδεῶς ὑπεῖχες;

12. Ἡ δέ, περὶ μὲν τὰ θεῖα Δῶρα, φησί, προσποιουμένη ἀσθένειαν, οὐδ' ὅλον τὸ πρὸς τῇ κεφαλῇ κάλυμμα ἕλκουσα, οὕτω τῶν θείων Δώρων προσεφερόμην· τὸ δὲ τῆς ἀγάπης πρὸς τοὺς ἀδελφοὺς σύμβολον, οὐδαμῶς παρῃτούμην· οὐδὲ γὰρ ἀνθρωπίνοις στόμασιν, ἀλλ' ἀνθρώποις τὴν ἀγγελικὴν ζηλοῦσιν ἀπάθειαν, προσάγειν ἐμαυτὴν ὑπελάμβανον.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἔζων δύο παρθένοι, ποὺ ἠσκήτευον· αὗται προερχόμεναι ἀπὸ ἐπιφανῆ οἰκογένειαν παρέμενον εἰς τὴν πατρικήν των οἰκίαν, πλησίον τοῦ Μοναστηρίου τοῦ μακαρίου Βενεδίκτου. Ἕνας δὲ ἄνθρωπος σπουδαῖος καὶ εὐλαβὴς τοὺς ἐξοικονομοῦσε τὰ ἀπαραίτητα, διὰ νὰ μὴ ἐξέρχωνται ἐκ τῆς οἰκίας των· πλὴν ὅμως αὐτὸν τὸν καλὸν ἄνθρωπον αἱ δύο ἐκεῖναι Μοναχαί, ἀπὸ ἔπαρσιν, λόγῳ τῆς εὐγενοῦς των καταγωγῆς, καθημερινῶς τὸν προσέβαλλον, χωρὶς λόγον, μὲ ὕβρεις καὶ εἰρωνείας.

2. Τότε καὶ ἐκεῖνος, μὴ ἀνεχόμενος πλέον τὸν ἐξευτελισμὸν αὐτόν, ποὺ ἦτο πράγματι ἀφόρητος, καταφεύγει εἰς τὸν ἄνθρωπον τοῦ Θεοῦ, τὸν Ἅγιον Βενέδικτον, καὶ τοῦ ἀναφέρει τὰς προσβολάς, ποὺ τοῦ ἔκαμναν αἱ δύο Μοναχαί. Τότε ὁ Ὅσιος τὰς ἐκάλεσε καὶ τοὺς εἶπε μὲ αὐστηρότητα:

—Νὰ διορθωθῆτε καὶ νὰ περιορίσετε τὴν γλῶσσαν σας, διότι, ἐὰν δὲν διορθωθῆτε, δὲν θὰ σᾶς μεταλάβω.

Τὸ τελευταῖον τὸ εἶπε, ὄχι διὰ νὰ τὰς δεσμεύσῃ, ἀλλὰ ἐπιθυμῶν νὰ τὰς διορθώσῃ μὲ αὐτὴν τὴν ἀπειλήν.

3. Ἐκεῖναι ὅμως οὐδόλως ἔλαβον ὑπ' ὄψιν των τὴν σύστασιν αὐτὴν τοῦ Ἁγίου καὶ δι' αὐτὸ δὲν ἠθέλησαν νὰ ἀπομακρυνθοῦν ἀπὸ τὴν ἀπερισκεψίαν των. Μετ' ὀλίγον καιρὸν ἀπέθανον καὶ αἱ δύο, ἐτάφησαν δὲ εἰς τὴν Ἐκκλησίαν.

4. Ἔκτοτε συνέβαινεν ἕνα τρομακτικὸν γεγονός· ὁσάκις ἐτελεῖτο

ἡ θεία Λειτουργία, καὶ κατὰ τὴν στιγμήν, ποὺ ὁ Διάκονος ἐκάλει τοὺς μὴ κοινωνοῦντας νὰ ἐξέλθουν τῆς Ἐκκλησίας, μία γυναίκα, ἡ ὁποία ἐχρημάτισε τροφὸς τῶν δύο παρθένων καὶ ἡ ὁποία προσέφερε συνήθως ὑπὲρ τῶν ψυχῶν των προσφορὰν διὰ τὴν θείαν Λειτουργίαν, ἔβλεπε τὰς δύο αὐτὰς παρθένους νὰ βγαίνουν ἀπὸ τοὺς τάφους των καὶ νὰ ἐξέρχωνται τῆς Ἐκκλησίας.

5. Ἀπὸ τὰς πολλὰς φοράς, ποὺ τὰς ἔβλεπε νὰ ἐξέρχωνται, κατὰ τὴν ἐκφώνησιν τοῦ Διακόνου, καὶ νὰ μὴ δύνανται νὰ παραμείνουν εἰς τὴν Ἐκκλησίαν, κατὰ τὴν ὥραν τῆς θείας Μεταλήψεως, ἐνεθυμήθη τὶ εἶχεν εἴπει εἰς αὐτὰς ὁ ἄνθρωπος τοῦ Θεοῦ, ὅταν ἔζων, καὶ ὅτι τὰς ἠπείλησε μὲ τὴν στέρησιν τῆς θείας Μεταλήψεως, ἐφ' ὅσον δὲν θὰ ἐδιορθώνοντο. Ἀμέσως λοιπὸν τρέχει εἰς τὸν Ἅγιον Βενέδικτον, καὶ πίπτουσα εἰς τοὺς πόδας του, τοῦ ἀνήγγειλε τὴν φοβερὰν ὀπτασίαν.

6. Ὅταν ἤκουσεν ὁ Ἅγιος ἐκεῖνος ἄνθρωπος τὴν τρομακτικὴν αὐτὴν περιπέτειαν τῶν ψυχῶν τῶν δύο παρθένων, κατενικήθη ἀπὸ τὴν ἔμφυτον καλωσύνην του καὶ συμπάθειαν καὶ ἀφοῦ ἔλαβε μίαν προσφοράν, τὴν ἔδωσεν εἰς τὴν εὐλαβῆ αὐτὴν γυναῖκα, τὴν πρώην τροφὸν τῶν παρθένων (διότι ὁ ἴδιος δὲν ἦτο Ἱερεύς), καὶ τῆς εἶπε:

—Πήγαινε καὶ δῶσε αὐτὴν τὴν προσφοράν, διὰ νὰ λειτουργήσῃ μὲ αὐτὴν ὁ Ἱερεὺς ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν των. Ὅταν γίνῃ αὐτό, δὲν θὰ εὑρίσκωνται πλέον ὑπὸ τὸ ἐπιτίμιον τῆς ἀκοινωνησίας.

7. Καὶ πράγματι αὐτὸ ἔγινε! Ὅταν ὁ Ἱερεὺς ἐτέλεσεν ὑπὲρ αὐτῶν τὴν θείαν Λειτουργίαν, προσκομίσας τὴν προσφοράν, ποὺ προσέφερεν ὁ Ἅγιος, καὶ ὁ Διάκονος ἔκαμεν, ὡς συνήθως, τὴν ἐκφώνησιν· «οἱ μὴ μεταλαμβάνοντες νὰ ἐξέλθωσιν ἐκ τῆς Ἐκκλησίας» (1), δὲν εἶδε πλέον αὐτὰς ἡ εὐσεβὴς τροφὸς νὰ ἐξέρχωνται ἀπὸ τὴν Ἐκκλησίαν!

8. Εἰς τὸν Βίον τῆς Ὁσίας Ματρώνης συναντῶμεν καὶ τὸ ἑξῆς περιστατικόν, εἰς τὸ ὁποῖον γίνεται λόγος περὶ τῆς θείας Μεταλήψεως καὶ τοῦ πρὸ ταύτης ἀσπασμοῦ, ὅστις ἐλάμβανε χώραν μεταξὺ τῶν ἀδελφῶν. Ἡ Ὁσία Ματρῶνα προσῆλθε, διὰ νὰ μονάσῃ, εἰς τὸ ἀνδρικὸν Μοναστήριον τοῦ Ὁσίου Βασιανοῦ, προσποιηθεῖσα τὸν εὐνοῦχον. Οὕτω ἀφοῦ τὴν ἐδέχθησαν εἰς τὸ Μοναστήριον, τὴν ἐκράτησαν ἀρκετὸν χρόνον εἰς αὐτό, χωρὶς οἱ Μοναχοὶ νὰ ἀντιληφθοῦν, ὅτι εἶναι γυναίκα· ὕστερον ὅμως ἐπληροφορήθη, δι' ἀποκαλύψεως, ὁ Μέγας Βασιανὸς τὴν ἀλήθειαν.

9. Τότε ὁ Ὅσιος, ἀφοῦ τὴν προσεκάλεσε πλησίον του, τὴν ἐκοίταξε μὲ αὐστηρότητα καὶ τῆς εἶπε μετά τινος σκληρότητος:

—Τί σὲ ἔκαμε, γύναιον, νὰ μεταχειρισθῇς ἐναντίον μας αὐτὸ τὸ τόλμημα καὶ νὰ μᾶς ρίψῃς εἰς πειρασμόν, ποὺ δὲν ἐταίριαζεν εἰς ἡμᾶς

---

1) Ἐκφώνησις ἀντίστοιχος τῆς παρ' ἡμῖν τοιαύτης· «Ὅσοι κατηχούμενοι προέλθετε, μή τις τῶν κατηχουμένων...».

καὶ νὰ μᾶς καταντροπιάσῃς, μὲ τὸ νὰ κατορθώσῃς νὰ μᾶς κρύβεσαι ἐπὶ τόσον καιρόν;

10. Ἡ Ὁσία Ματρῶνα ἀντιληφθεῖσα ἀμέσως τὸ νόημα τῶν λόγων τοῦ Μεγάλου Βασιανοῦ, ἔβαλε μετάνοιαν καὶ ἐνηγκαλίσθη τοὺς πόδας τοῦ Ἁγίου· μὲ φωνὴν δὲ ποὺ μόλις ἠκούετο καὶ μὲ μεγάλην ταπείνωσιν εἶπε:

—Δέσποτά μου, κατετάγην εἰς τὴν ποίμνην σου, ὄχι διότι ἐπιθυμοῦσα νὰ φέρω πειρασμόν, ἀλλὰ διότι ἤθελα νὰ ἀποφύγω τοὺς ἐκ τῶν ἀντιθέτων πειρασμοὺς καὶ νὰ ἀπομακρυνθῶ ἀπὸ τὰς παγίδας τῶν πειρασμῶν τοῦ βίου.

11. Μετὰ τὴν ἀπολογίαν αὐτὴν ὁ Ἅγιος τῆς εἶπε πάλιν:

—Πῶς ὅμως ἐτολμοῦσες, ἐνῷ ἦσουν γυναίκα, νὰ προσέρχεσαι εἰς τὴν μετάληψιν τῶν θείων Ἁγιασμάτων μὲ γυμνὴν κεφαλὴν(1); Καὶ πῶς, ἀκόμη, ἠσπάζεσο, ἀδιάντροπα, τοὺς ἀδελφοὺς εἰς τὸ στόμα, κατὰ τὸν ἀσπασμὸν τῆς εἰρήνης;

12. Εἰς ταῦτα ἡ μακαρία Ματρῶνα ἀπήντησε:

—Δέσποτά μου, καθ᾽ ὅσον μὲν ἀφορᾷ τὴν προσέλευσίν μου εἰς τὰ θεῖα Δῶρα, προσεποιούμην ἀσθένειαν καὶ οὕτω δὲν ἀπέσυρα τὸ κάλυμμα ἀπὸ τὴν κεφαλήν μου· τοιουτοτρόπως δὲ μετελάβανον. Καθ᾽ ὅσον δὲ ἀφορᾷ τὸ σύμβολον τῆς πρὸς τοὺς ἀδελφοὺς ἀγάπης, τὸν ἀσπασμὸν δηλαδή, οὐδέποτε τὸν ἀπέφυγα, διότι κατὰ τὴν στιγμὴν τοῦ ἀσπασμοῦ ἐνόμιζα, ὅτι δὲν πλησιάζω ἀνθρώπινα στόματα, ἀλλὰ στόματα ἀνθρώπων ἐπιποθούντων καὶ ἐπιδιωκόντων ἀγγελικὴν ἀπάθειαν.

Β΄. Ἐν τῷ Γεροντικῷ.

ΕΙΠΕ Γέρων, ὅτι πολλάκις τοῦ Διακόνου λέγοντος, ἀσπάσασθε ἀλλήλους, εἶδον τὸ Πνεῦμα τὸ Ἅγιον εἰς τὰ στόματα τῶν ἀδελφῶν.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶπε· πολλὰς φοράς, ὅταν ὁ Διάκονος ἔλεγεν, «ἀσπάσασθε ἀλλήλους», εἶδα τὸ Ἅγιον Πνεῦμα εἰς τὰ στόματα τῶν ἀδελφῶν.



1) Ὡς γνωστόν, ἡ γυναίκα μεταλαμβάνει μὲ σκεπασμένην τὴν κεφαλὴν κατὰ σύστασιν τοῦ θείου Παύλου (Α΄ Κορ. ια΄ 5—6).



ὙΠΟΘΕΣΙΣ ΛϚ´

Ὅτι καὶ τὸ ἐν Ἐκκλησίᾳ ταφῆναι, τοῖς μὲν εὐσεβέσιν ὠφέλεια, τοῖς δὲ κατεγνωσμένοις κολάσεως πρόξενον.

Ὁ ἐνταφιασμὸς ἑνὸς Χριστανοῦ εἰς τὴν Ἐκκλησίαν ὠφελεῖ μὲν τοὺς εὐσεβεῖς, προκαλεῖ ὅμως κόλασιν εἰς τοὺς καταδικασθέντας εἰς τὸ αἰώνιον πῦρ.



Α΄. Γρηγορίου τοῦ Διαλόγου.

Ἐρωταποκρίσεις

Πέτρος

ΔΙΔΑΧΘΗΝΑΙ αἰτῶ, εἰ ὠφέλειάν τινα ταῖς τῶν τελευτώντων ψυχαῖς προσγίνεσθαι νομιστέον, ἐκ τοῦ θάπτεσθαι αὐτῶν τὰ σώματα ἐν τῇ Ἐκκλησίᾳ.

Γρηγόριος

2. Ἐὰν βαρεῖαι αὐταῖς αἱ ἁμαρτίαι οὐχ ὑπάρχωσιν, ὠφελεῖ τὸ θάπτειν τοὺς νεκροὺς ἐν ταῖς Ἐκκλησίαις· οἱ γὰρ συγγενεῖς αὐτῶν, ὁσάκις ἐν ταῖς Ἐκκλησίαις συνέρχονται, τῶν ἰδίων τὰ μνήματα θεωροῦντες, ἀναμιμνήσκονται τούτων καὶ ὑπὲρ αὐτῶν τῷ Κυρίῳ δεήσεις προσφέρουσιν.

3. Ὧν δὲ αἱ ἁμαρτίαι βαρεῖαι τυγχάνουσιν, οὐχὶ εἰς λύτρωσιν ἁμαρτημάτων, ἀλλ᾿ εἰς μεγάλην κατάκρισιν τὰ τούτων σώματα ἐν τῇ Ἐκκλησίᾳ τίθενται· καὶ τοῦτο δῆλον καὶ ἐκ τῶν καθ᾿ ἡμᾶς γεγονότων.

4. Διηγήσατο γάρ μοι ὁ εὐλαβέστατος Φῆλιξ ὁ τοῦ Πόρτου Ἐπίσκοπος, ὃς ἐκ τῆς χώρας Σαβίνης γέγονεν, ὅτι ἐν τῇ αὐτῇ χώρᾳ Σαβίνῃ, Μονάστριά τις ἦν, ἀπὸ μὲν αἰσχρᾶς ἡδονῆς ἐγκρατευομένη, τῆς δὲ προπετείας τῆς γλώσσης, καὶ ἀκαιρολογίας, οὐκ ἀφισταμένη.

5. Ἧς τελευτησάσης καὶ ἐν τῇ Ἐκκλησίᾳ ταφείσης, εἶδεν ὁ τῆς Ἐκκλησίας φύλαξ δι᾿ ἀποκαλύψεως ἀπενεχθεῖσαν αὐτὴν ἔμπροσθεν τοῦ Θυσιαστηρίου καὶ εἰς τὸ μέσον πρισθεῖσαν· καὶ τὸ μὲν ἓν μέρος τῷ πυρὶ παραδοθὲν κατεκαίετο, τὸ δὲ ἕτερον διέμεινεν ἄπτωτον.

6. Πρωΐας οὖν γενομένης ἀναστὰς ὁ φύλαξ, τοῖς συνοῦσιν αὐτῷ, ὅπερ ἐν ἐκείνῃ τῇ νυκτὶ δι᾿ ἀποκαλύψεως εἶδε, διηγήσατο· ἐξ οὗ φανερῶς δείκνυται, ὅτι ὧν αἱ ἁμαρτίαι συγκεχωρημέναι οὐκ εἰσὶ πρὸς τὸ ἐκφυγεῖν τὴν κρίσιν, ἐκ τῶν ἱερῶν τόπων βοηθείας τυχεῖν οὐ δύνανται.

7. Καὶ ὁ Βαλλεριανὸς δὲ ὁ πατρίκιος, ὃν καὶ ἡμεῖς γινώσκομεν, ἐν τῇ πόλει τῇ λεγομένῃ Βρίξᾳ γενόμενος, ἐν αὐτῇ ἐτελεύτησεν· ὁ δὲ τῆς αὐτῆς πόλεως Ἐπίσκοπος, χρήματα ἐκ τῶν ἀνθρώπων αὐτοῦ κομισάμενος, τόπον ἐν τῇ Ἐκκλησίᾳ παρέσχετο, ἐν ᾧ τὸ σῶμα αὐτοῦ ταφῆναι ὤφειλεν· ὁ δὲ Βαλλεριανὸς οὗτος πάνυ ὀλισθηρῶς μέχρι γήρως ἔζησε, μηδέποτε ταῖς ἀταξίαις αὐτοῦ χαλινὸν ἐπιθεῖναι βουληθείς.

8. Τοῦ οὖν σώματος αὐτοῦ ἐν τῇ Ἐκκλησίᾳ Φαυστίνου τοῦ Μάρτυρος ταφέντος, τῇ ἐπελθούσῃ νυκτὶ ὁ Ἅγιος Μάρτυς τῷ προσμοναρίῳ ἐπιφαίνεται λέγων· ἄπελθε, καὶ εἰπὲ τῷ Ἐπισκόπῳ, ἵνα τὰς ὀζούσας σάρκας, ἃς ἐνταῦθα κατέθετο, ῥίψῃ ἔξω, ἐπεί, εἰ μὴ ταῦτα ποιήσει, τῇ τριακοστῇ ἡμέρᾳ ἀποθνήσκει.

9. Ὁ δὲ προσμονάριος ἐφοβήθη ταύτην τὴν ὅρασιν τῷ Ἐπισκόπῳ ἀπαγγεῖλαι· καὶ πάλιν ἐκ δευτέρου ὁμοίως χρηματισθεὶς εἰπεῖν τῷ Ἐπισκόπῳ, παρῃτήσατο. Ὁ οὖν Ἐπίσκοπος τῇ τριακοστῇ ἡμέρᾳ ὑγιὴς ὑπάρχων, πρὸς ἑσπέραν ἐν τῇ κλίνῃ αὐτοῦ ἀνακλιθείς, αἰφνιδίῳ καὶ ἀγνώστῳ θανάτῳ ἐτελεύτησεν· ἐξ ὧν κατανοῆσαί ἐστιν, ἐν ποίᾳ κατακρίσει ἡ ψυχὴ τοῦ Βαλλεριανοῦ ὑπάρχει.

10. Δῆλον οὖν ὅτι ὧν αἱ ἁμαρτίαι βαρεῖαί εἰσι, παρὰ τῶν ἱερῶν τόπων, ἐν οἷς θάπτονται, οὐδεμίαν βοήθειαν λαμβάνουσιν, ἀλλὰ καὶ μᾶλλον διὰ τὴν τόλμην κατακρίνονται· οὐ μὴν δέ, ἀλλὰ καὶ οἱ θάπτοντες αὐτοὺς καταδικάζονται.

Ἑρμηνεία

Ἐρωταποκρίσεις

Πέτρος

ΖΗΤΩ νὰ μάθω, ἐὰν πρέπῃ νὰ νομίζωμεν, ὅτι ὠφελοῦνται κάπως αἱ ψυχαὶ τῶν ἀποθνῃσκόντων ἀπὸ τὸν ἐνταφιασμὸν τῶν σωμάτων των ἐντὸς τοῦ χώρου τῆς Ἐκκλησίας (1).

Γρηγόριος

2. Ἐὰν οἱ ἀποθανόντες δὲν ἔχουν βαρείας ἁμαρτίας ὠφελοῦνται ἀπὸ τὸν ἐνταφιασμόν των εἰς τὰς Ἐκκλησίας, διότι οἱ συγγενεῖς των, ὁσάκις προσέρχονται εἰς τὰς Ἐκκλησίας καὶ βλέπουν τὰ μνήματα αὐτῶν, τοὺς ἐνθυμοῦνται, καὶ προσφέρουν, χάριν αὐτῶν, δεήσεις πρὸς τὸν Κύριον.

3. Ὅσοι ὅμως ἔχουν διαπράξει βαρείας ἁμαρτίας εἰς τὴν ζωήν των καὶ τὰ σώματά των ἔχουν ταφῆ εἰς Ἐκκλησίας, οὐχὶ ἀπολύτρωσιν τῶν ἁμαρτημάτων των ἀποκομίζουν, ἀλλὰ μεγαλυτέραν κατάκρισιν. Τοῦτο ἀποδεικνύεται ἀπὸ τὰ ἑξῆς περιστατικά, ποὺ γνωρίζω.

